This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

600031264L

ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ

VOL. II.

Ὁ ΜΗΡΟΥ ϜΙΛΙΑΣ

LITTERA DIGAMMA RESTITUTA
AD METRI LEGES REDEGIT
ET NOTATIONE BREVI ILLUSTRAVIT

THOMAS SHAW BRANDRETH
A. M. S. R. S. SS. T. C. OLIM S.

VOL. II.

LONDINI
GULIELMUS PICKERING
1841

915.

Ὅμηρος λεξει και διανοια παντας ὑπερβεβληκε.

ARISTOTELES.

Qui, quid sit pulchrum, quid turpe, quid utile, quid non,
Plenius ac melius Chrysippo et Crantore dicit.

HORATIUS.

C. WHITTINGHAM EXCUDIT.

ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Ν.

ARGUMENTA.

Μαχη επι νηυσι.
Nu, Δαναοισιν αμυνε Ποσειδαων παρα νηυσι.

1. Jovis oculis aversis, Neptunus Græcis opitulatur. 43. Sub formâ Calchantis Ajaces hortatur. — 83. Deinde Teucrum cæterosque. — 126. Græci phalanges constituunt.—136. Hector Trojanos hortatur.—156. Deiphobus et Meriones concurrunt.—170. Teucer Imbrium interficit.—183. Hector Amphimachum cædit.—206. Neptunus Idomeneum hortatur.—240. Idomeneus et Meriones colloquuntur.—327. In prœlium ad lævam descendunt.—345. Diversa Jovis et Neptuni consilia.—361. Idomeneus Othryoneum et Asium interficit.—402. Deiphobus Hypsenorem.—424. Idomeneus Alcathoum.—455. Deiphobus Æneam advocat.—470. Idomeneus Merionem et Antilochum.—506. Idomeneus Œnomaum interficit.—516. Deiphobus Ascalaphum.—528. Meriones Deiphobum vulnerat.—541. Æneas Aphareum interficit.—545. Antilochus Thoonem.—567. Meriones Adamanta.—576. Helenus Deipyrum.—581. Menelaus Helenum vulnerat.—601. Pisandrum et Harpalionem interficit.—660. Paris Euchenorem ferit.—674. Hector aliâ parte contra Ajaces pugnat.—725. Polydamas ei suadet, ut principes adunet.—758. Hector principes quærit, sed plurimos cæsos aut vulneratos invenit.—789. Cum Paride aliisque impetum facit.—809. Ajax iis obsistit.

ʽΟΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Ν.

ΖΕΥΣ δ' επει ουν Τρωας τε και Ἑκτορα νηυσι πελασσε,
Τους μεν εϝα παρα τῃσι πονον τ' εχεμεν και οϊζυν
Νωλεμεως· αυτος δε παλιν τρεπεν οσσε φαεινω,
Νοσφιν εφ' ἱπποπολων Θραϊκων καθορωμενος αιαν,
Μυσων τ' αγχεμαχων, και αγαυων Ἱππημολγων,
Γλακτοφαγων, Αβιων τε, δικαιοτατων ανθρωπων.
Ες Τροϊην δ' ου παμπαν ετι τρεπεν οσσε φαεινω·
Ου γαρ ὁγ' αθανατων τιν' εϝελπετο ϝον κατα θυμον
Ελθοντ', η Τρωεσσιν αρηγεμεν η Δαναοισιν.
Ουδ' αλαοσκοπιην ειχε κρειων Ενοσιχθων·
Και γαρ ὁ θαυμαζων ἡστο πτολεμον τε μαχην τε
Ὑψου επ' ακροτατης κορυφης Σαμου ὑληεσσης,
Θρηϊκιης· ενθεν γαρ εφαινετο πασα μεν Ιδη,
Φαινετο δε Πριαμοιο πολις, και νηες Αχαιων.
Ενθ' αρ ὁγ' εξ ἁλος ἑζετ' ιων, ελεαιρε δ' Αχαιους
Τρωσιν δαμναμενους, Διϊ δε κρατερως ενεμεσσα.

---

1. Ζευς δ' επει ουν. Ut fortuna belli varietur, et ut Idomenei virtus laudetur, Jupiter oculos avertit, et Neptunus Græcis opitulatur.

4. Νοσφιν εφ' ἱπποπολων Θραϊκων. Seorsum ad equestrium Thracum intuens terram, Et Mysorum comminus pugnantium, et nobilium Hippemolgorum, Lacte vescentium, Abiorumque, justissimorum hominum: Mysi circa Danubium habitabant; Hippemolgi et Abii in Sarmatiâ. Hippemolgi dicti, quia equas mulgerent; Abii, quia a vi abstinerent. Hesych. Knightius versus 5, 6, 31, et 54 damnat.

12. Σαμου Θρηϊκιης. Mons ibi præaltus est, nivibus coopertus, et a Trojâ conspiciendus, licèt sexaginta millium passuum intervallo.

Threiciamque Samum, quæ nunc Samothracia fertur. Æn. vii. 208.

13. ενθεν γαρ εφαινετο. unde omnis Troja videri,
Et Danaûm solitæ naves, et Achaica castra. Æn. ii. 461.

16. ενεμεσσα. irascebatur: Νεμεσαω pro lubitu σ duplicat.

Αυτικα δ' εξ ορεος κατεβησατο παιπαλοεντος,
Κραιπνα ποσι προβιβας· τρεμε δ' ουρεα μακρα και ὑλη
Ποσσιν ὑπ' αθανατοισι Ποσειδαωνος ιοντος.
Τρις μεν ορεξατ' ιων, το δε τετρατον, ἱκετο τεκμωρ
Αιγας· ενθα δε οι κλυτα δωματα βενθεσι λιμνης,
Χρυσεα, μαρμαιροντα, τετευχαται, αφθιτον αιει.
Ενθ' ελθων, ὑπ' οχεσφι τιτυσκετο χαλκοποδ' ἱππω,
Ωκυπετα, χρυσεησι γεθειρησιν κομοωντε.
Χρυσον δ' αυτος εδυνε περι χροϊ· γελτο δ' ιμασθλην
Χρυσειην, ευτυκτον, εου δ' επεβησατο διφρου·
Βη δ' ελαων επι κυματ'· αταλλε δε κητε' ὑπ' αυτῳ
Παντοθεν εκ κευθμων, ουδ' ηγνοιησε ϝανακτα·
Γηθοσυνη δε θαλασσα διϊστατο· τοι δ' επετοντο
Ϝριμφα μαλ', ουδ' ὑπενερθε διαινετο χαλκεος αξων·
Τον δ' ες Αχαιων νηας εϋσκαρθμοι φερον ἱπποι.

Εστι δε τι σπεος ευρυ βαθειης βενθεσι λιμνης,
Μεσσηγυς Τενεδοιο και Ιμβρου παιπαλοεσσης·
Ενθ' ἱππους εστησε Ποσειδαων ενοσιχθων,
Λυσας εξ οχεων, παρα δ' αμβροσιον βαλεν ειδαρ
Εδμεναι· αμφι δε ποσσι πεδας εβαλε χρυσειας,
Αῤῥηκτους, αλυτους, ὁῤῥ' εμπεδον αυθι μενοιεν
Νοστησαντα ϝανακτα· ὁ δ' ες στρατον ῳχετ' Αχαιων.

Τρωες δε φλογι ϝισοι αολλεες, ηε θυελλη,

---

21. Αιγας. Ægæ urbs Achaiæ erat, ubi templum Neptuni; Θ. 203.

22. αφθιτον αιει. incorruptè semper: Ita Bentleius. Vulgò, αφθιτα αιει, contra metrum; sed αιει sæpe cum adjectivo neutrali jungitur, ut, εχεν κοτον εμμενες αιει, N. 517, νωλεμες αιει, I. 317; et similiter, ακηριοι, ακλεες αυτως, H. 100.

27. Βη δ' ελαων. Jungit equos auro genitor spumantiaque addit
Fræna feris, manibusque omnes effundit habenas.
Cæruleo per summa levis volat æquora curru.
Subsidunt undæ, tumidumque sub axe tonanti
Sternitur æquor aquis; fugiunt toto æthere nimbi.
Tum variæ comitum facies; immania cete. Æn. v. 817.

36. πεδας. vincula: Confer, ειλιποδες, Z. 424.

41. Αβρομοι, αϋῆχοι. Sine strepitu, sine clamore: Ita rectè Hesychius, qui et αἴαχοι scribit. Trojani jam silenter invadunt, licèt alibi cum

Ἕκτορι Πριαμιδῃ αμοτον μεμαωτες ἑποντο,
Αβρομοι, αυϊαχοι· ϝελποντο δε νηας Αχαιων
Αἱρησειν, κτενεειν δε παρ' αυτοθι παντας Αχαιους·
Αλλα Ποσειδαων γαιηοχος εννοσιγαιος
Αργειους ωτρυνε, βαθειης ἐξ ἁλος ελθων,
Ϝεισαμενος Καλχαντι δεμας και ατειρεα φωνην·
Αιαντε πρωτω προσεφη, μεμαωτε και αυτω·
Αιαντε, σφωϊ γε σαωσετε λαον Αχαιων,
Αλκης μνησαμενω, μηδε κρυεροιο φοβοιο.
Αλλῃ μεν γαρ εγωγ' ου δειδια χειρας ααπτους
Τρωων, οἱ ϝμεγα τειχος ὑπερκατεβησαν ὁμιλῳ·
Ἐξουσιν γαρ ἅπαντας εὐκνημιδες Αχαιοι·
Τῃδε δη αινοτατον περιδειδια, μη τι παθωμεν,
Ἠι ϝρ' ὁγ' ὁ λυσσωδης, ϕλογι ϝεικελος, ἡγεμονευει
Ἕκτωρ, ὃς Διος ευχετ' ερισθενεος παϊς ειναι.
Σφωϊν δ' ὡδε Θεων τις ενι ϕρεσι ποιησειεν,
Αυτω θ' ἑσταμεναι κρατερως, και ανωγεμεν αλλους·
Τῳ κε και εϝσυμενον περ εϝρωησαιτ' απο νηων
Ωκυπορων, ει και μιν Ολυμπιος αυτος εγειρει.
Η, και σκηπανιῳ γαιηοχος Εννοσιγαιος
Αμϕοτερω κεκοπως πλησεν μενεος κρατεροιο,
Γυια δ' εθηκεν ελαϕρα, ποδας και χειρας ὑπερθεν.
Αυτος δ', ὡς τ' ιρηξ ωκυπτερος ωρτο πετεσθαι,

---

clamore; quo poeta firmum eorum navium urendarum propositum indicat. Alii perperam, valde clamantes, vertunt; Homerus enim nuspiam α intensivè utitur; Λ. 155. Forsitan α negativum ab αυ, vel αϝα, fluit, unde in αθανατος, ακαματος, et αλοϕος, producatur, et in ααϝατος, ααπτος, et ανεεδνος ante vocalem ponatur. Sin non, censendum est, eâdem ratione, ac prima in Διογενης, produci, A. 337, et υ inductum ad quantitatem indicandam. Alii digamma in voce ιαχη indicari putant; sed vide A. 482.

42. παρ' αυτοθι. juxta ibi: ibi juxta naves. Ita MSS. nonnulli, et ita, παρ' αυθι, Ψ. 163; alii, παρ' αυτοϕι· sed παρα cum genitivo, a latere, significat.

47. σϕωϊ γε. vos quidem: Vulgò, σϕω μεν τε, vel σϕω μεν κε· sed συ, ὁ, et εγω, particulam γε quasi postulant, et σϕωϊ contrahi nequit; A. 574, Λ. 781.

62. ὡς τ' ιρηξ. Quàm facilè accipiter saxo sacer ales ab alto
Consequitur pennis sublimem in nube columbam. Æn. xi. 721.

Ὁς ϝρα τ' απ' αιγιλιπος πετρης περιμηκεος αρθεις
Ὁρμησει πεδιοιο διωκειν ορνεον αλλο·
Ὡς απο των ηϊξε Ποσειδαων ενοσιχθων.
Τοιϊν δ' εγνω προσθεν Οϊληος ταχυς Αιας,
Αιψα δ' αρ Αιαντα προσεφη Τελαμωνιον υἱον·
Αιαν, επει τις νωϊ Θεων, οἱ Ολυμπον εχουσι,
Μαντεϊ ϝειδομενος κελεται παρα νηυσι μαχεσθαι,
Ουδ' ὁγε Καλχας εστι, θεοπροπος οιωνιστης·
Ιχνια γαρ μετοπισθε ποδων ηδε κνημαων
Ϝρει' εγνων απιοντος, αριγνωτοι δε Θεοι περ.
Και δ' εμοι αυτῳ θυμος ενι στηθεσσι φιλοισι
Μαλλον εφορμᾶται πολεμιζειν ηδε μαχεσθαι,
Μαιμωωσι δ' ενερθε ποδες και χειρες ὑπερθεν.
Τον δ' απαμειβομενος προσεφη Τελαμωνιος Αιας·
Οὑτω νυν και εμοι περι δουρατι χειρες ααπτοι
Μαιμῶσιν, και μοι μενος ωρορε, νερθε δε ποσσιν
Εϝσυμαι αμφοτεροισι· μενοινωω δε και οιος
Ἑκτορι Πριαμιδῃ αμοτον μεμαωτι μαχεσθαι.
Ὡς οἱ μεν τοιαυτα προς αλληλους αγορευον,
Χαρμῃ γηθοσυνοι, την σφιν Θεος εμβαλε θυμῳ.
Τοϝρα δε τους οπιθεν Γαιηοχος ωρσεν Αχαιους,
Οἱ παρα νηυσι θοῃσιν ανεψυχον φιλον ητορ·
Των ϝρ' ἁμα τ' αργαλεῳ καματῳ φιλα γυια λελυντο,
Και σφιν αχος κατα θυμον εγινετο, δερκομενοισι
Τρωας, τοι ϝμεγα τειχος ὑπερκατεβησαν ὁμιλῳ·
Τους οἱγ' εισοροωντες, ὑπ' οφρυσι δακρυα λειβον·
Ου γαρ εφαν φευξεσθαι ὑπ' εκ κακου· αλλ' Ενοσιχθων

---

71. Ιχνια γαρ. Et vera incessu patuit Dea. Æn. i. 405.

75. Μαιμωωσι. Cupiunt: id est, pugnandi cupiditate incitantur. Pro μαιμαουσι· ita μενοινωω, N. 79. Knightius, μαιμαϝοντι.

90. Ϝρεια μετεισαμενος. Facilè interveniens: a μετειμι· Hesychius, μετελθων, explicat. Vide M. 118.

100. ὁ κ' ουποτ' εγωγε. quod tum nunquam ego: Vulgò, ὁ ουποτ' εγωγε· M. 447.

102. Φυζανικῃς ελαφοισι ϝεϝοικοτες.

Cervi, luporum præda rapacium,

Γρεια μετεισαμενος κρατερας ωτρυνε φαλαγγας.
Τευκρον επι πρωτον και Ληϊτον ηλθε κελευων,
Πηνελεον θ' ἡρωα, Θοαντα τε, Δηϊπυρον τε,
Μηριονην τε, και Αντιλοχον, μηστωρας αϋτης·
Τους ὁγ' εποτρυνων γεπεα πτεροεντα προσηυδα·
Αιδως, Αργειοι, κουροι νεοι· υμμιν εγωγε
Μαρναμενοισι πεποιθα σαωσεμεναι νεας ἁμας·
Ει δ' ὑμεις πολεμοιο μεθησετε λευγαλεοιο,
Νυν δη γειδεται ημαρ ὑπο Τρωεσσι δαμηναι.
Ω ποποι, η μεγα θαυμα τοδ' οφθαλμοισιν ὁρωμαι,
Δεινον, ὁ κ' ουποτ' εγωγε τελευτησεσθαι εφασκον,
Τρωας εφ' ἡμετερας ιεναι νεας· οἱ το παρος περ
Φυζακινης ελαφοισι γεροικεσαν, αἱ τε καθ' ὑλην
Θωων, ποδαλιων τε, λυκων τ' ηϊα πελονται,
Αυτως ηλασκουσαι, αναλκιδες, ουδ' επι χαρμη·
Ὡς Τρωες το πριν γε μενος και χειρας Αχαιων
Μιμνειν ουκ εθελεσκον εναντιον, ουδ' ηβαιον.
Νυν δ' ἑκαθεν πολιος κοιλης επι νηυσι μαχονται,
Ἡγεμονος κακοτητι, μεθημοσυνῃσι τε λαων,
Οἱ κεινῳ ερισαντες αμυνεμεν ουκ εθελουσι
Νηων ωκυπορων, αλλα κτεινονται αν' αυτας.
Αλλ' ει δη και παμπαν ετητυμον αιτιος εστιν
Ἡρως Ατρεϊδης, ευρυκρειων Αγαμεμνων,
Οὕνεκ' αρ ητιμησε ποδωκεα Πηλεϊωνα,
Ἡμεας ουπως εστι μεθιεμεναι πολεμοιο.
Αλλ' ακεωμεθα θασσον· ακεσται τοι φρενες εσθλων.
Ὑμεις δ' ουκετι καλα μεθιετε θουριδος αλκης,

Sectamur ultro, quos opimus
Fallere et effugere est triumphus. Hor. Carm. 4. 4. 50.

103. ϊα. viatica: Penultimam producit; loca in Odysseâ, ubi corripere videatur, emendatione egent.

104. Αυτως ηλασκουσαι. Incassum vagantes, imbelles, nec prælio aptæ:

107. Νυν δ' ἑκαθεν. Nunc verò longè: Ita MSS. omnes. Vide E. 791, A. 14.

113. Οὕνεκ' αρ ητιμησε. Quia sanè contumeliâ affecit: Ita proculdubio legendum; vulgò, Οὕνεκ' απητιμησε, quæ forma nihili est.

115. Αλλ' ακεωμεθα θασσον. Sed medeamur citò; placabiles enim animi

Παντες αριστοι εοντες ανα στρατον· ουδε κ' εγωγε
Ανδρι μαχεσσαιμην, ὁστις πολεμοιο μεθιει,
Λυγρος εων· ὑμιν δε νεμεσσῶμαι περι κῆρι.
Ω πεπονες, ταχα δη τι κακον ποιησετε μειζον
Τηδε μεθημοσυνη· αλλ' εν φρεσι θεσθε εκαστος
Αιδω και νεμεσιν· δη γαρ μεγα νεικος ορωρεν.
Ἑκτωρ δη παρα νηυσι βοην αγαθος πολεμιζει,
Καρτερος· ερηξεν δε πυλας και μακρον οχηα.
Ὡς φα κελευτιοων Γαιηοχος ωρσεν Αχαιους·
Αμφι δ' αρ Αιαντας δοιους ἱσταντο φαλαγγες
Καρτεραι, ἃς ουτ' αρ κεν Αρης ονοσαιτο μετελθων,
Ουτε κ' Αθηναιη λαοσσοος· οἱ γαρ αριστοι
Κρινθεντες Τρωας τε και Ἑκτορα διον εμιμνον,
Φραξαντες δορυ δουρι, σακος σακεϊ προθελυμνῳ·
Ασπις αρ ασπιδ' ερειδε, κορυς κορυν, ανερα δ' ανηρ·
Ψαυον δ' ἱπποκομοι κορυθες λαμπροισι φαλοισι
Νευοντων· ὡς πυκνοι εφεσταsαν αλληλοισιν·
Εγχεα δ' επτυσσοντο, θρασειαων απο χειρων

---

bonorum: id est, nos in nostris animis malevolentiam hanc compescamus, et mitigemus. Ita, ακεοντο δε δι᾽αν, X. 2. Scholiastes, negligentiæ nostræ, supplet; alii cum Heynio, Achillem placemus; Trollopius, placemur ipsi; sed ακεομαι sensum passivum non habet.

118. ὁστις πολεμοιο μεθιει. quicunque a bello remitteret: Stephanus μεθειη intulit, sed Græci indicativo utuntur.

119. Λυγρος εων. Qui vilis sit: Ita N. 237.

127. ουτ' αρ κεν. neque sanè tum: Vulgò, ουτ' αν κεν.

128. λαοσσοος. populum excitans: a σσευω. Ita αγελαη vocatur; Δ. 128. Vulgò, λαοσσοος.

130. Φραξαντες δορυ δουρι. Sepientes hastam hastâ: Pulcherrima phalangis descriptio. Eustathius quinque ordines fuisse censet; non tamen idem semper numerus. προθελυμνῳ. multiplici: Schol. ita, τετραθελυμνῳ, O. 479.

134. Εγχεα δ' επτυσσοντο. Hastæ verò complicabantur: id est, aliæ aliis a variis ordinibus imponebantur. Alii, curvabantur, vertunt.

136. προετυψαν. ante feriebant: Vulgò, προυτυψαν.

137. ολοοτροχος ὡς απο πετρης. exitialis rotator ut de rupe: id est, saxum versatile, quod de monte currens stragem sæpe ingentem edit. Hesychius, κυκλοτερης, στρογγυλος λιθος. Similitudo ex omni parte justissima est, ut Popius monuit, et Hesiodus, Virgilius, et Tasso imitati sunt.

Ὡς δ' ὁτ' απο μεγαλου πετρη προωιξας ορουσῃ,

Γσειομεν'· οἱ δ' ιθυς φρονεον, μεμασαν δε μαχεσθαι.
Τρωες δε προετυψαν αολλεες, ηρχε δ' αρ Ἕκτωρ
Αντικρυ μεμαως· ολοοτροχος ὡς απο πετρης,
Ὃν τε κατα στεφανης ποταμος χειμαρροος ωσῃ,
Γρηξας ασπετῳ ομβρῳ αναιδεος εχματα πετρης,
Ὑψι τ' αναθρωσκων πετεται, κτυπεει δε θ' ὑπ' αυτου
Ὑλη· ὁ δ' ασφαλεως θεει εμπεδον, ὁφρα χ' ἱκηται
Γισοπεδον, τοτε δ' ουτι κυλινδεται, εφσυμενος περ·
Ὡς Ἕκτωρ, τειος μεν απειλει μεχρι θαλασσης
Γρεια ϝ' ελευσεσθαι κλισιας και νηας Αχαιων,
Κτεινων· αλλ' ὁτε δη πυκινῃς ενεκυρσε φαλαγξι,
Στη ῥα μαλ' εγχριμφθεις· οἱ δ' αντιοι υἱες Αχαιων,
Νυσσοντες ξιφεσιν τε και εγχεσιν αμφιγυοισιν,
Ωσαν απο σφεοφιν· ὁ δε χασσαμενος πελεμιχθη,
Ηϋσεν δε διαπρυσιον, Τρωεσσι γεγωνως·
Τρωες, και Λυκιοι, και Δαρδανοι αγχεμαχηται,
Παρμενετ'· ουτοι δηρον εμε σχησουσιν Αχαιοι,
Και μαλα πυργηδον σφεας αυτους αρτυναντες,

Μακρα δ' επιθρωσκουσα κυλινδεται· ἡ δε τε ϝηχῃ
Ερχεται εμμεμαυια, παγος δε ϝοι αντεβολησεν
Ὑψηλος· τῳ δη συνενειχεται, ενθα μεν ισχει. Scut. Herc. 437, 374.

Ac veluti montis saxum de vertice præceps
Cùm ruit avulsum vento, seu turbidus imber
Proluit, aut annis solvit prolapsa vetustas;
Fertur in abruptum magno mons improbus actu,
Exultatque solo, sylvas armenta virosque
Involvens secum; disjecta per agmina Turnus
Sic urbis ruit ad muros. Æn. xii. 684.

138. αναιδεος εχματα πετρης. ingentis retinacula rupis: Ita, λαας αναιδης, Δ. 521, Od. λ. 598; et, mons improbus, Æn. xii. 687.

140. ὁφρα χ' ἱκηται. donec veniat: Vulgò, οφρ' αν, vel, ἑως, quod εἱως esset.

143. τειος. tamdiu: Vulgò, εἱως, quamdiu, quod sensum idoneum non præbet; vide P. 727, Υ. 42.

144. Γρεια ϝ' ελευσεσθαι. Facilè se venturum: Vulgò, Ῥειαδ' ελευσεσθαι· sed Ῥειαδε post digamma amissum vox ad metrum implendum inventa est. Confer Υ. 263.

147. αμφιγυοισιν. confertis: Αμφιγυος propriè vicinus est, qui arva proxima tenet; a γυη, arvum. Sic, αμφιγυοι περιναιεται, Apoll. Rhod, et πεντηκοντογυος, I. 575.

Αλλ', οϊω, χασσονται ὑπ' εγχεος, ει ετεον με
Ωρσε, Θεων ὸς αριστος, εριγδουπος ποσις Ἡρης.
Ὡς ϝειπων, ωτρυνε μενος και θυμον ἁπαντων.
Δηϊφοβος δ' εν τοισι ϝμεγα φρονεων εβεβηκει
Πριαμιδης, προσθεν δ' εχεν ασπιδα παντοσε ϝισην,
Κουφα ποσι προβιβας, και ὑπασπιδια προποδιζων·
Μηριονης δ' αυτοιο τιτυσκετο δουρι φαεινῳ,
Και βαλεν, ουδ' αφαμαρτε, κατ' ασπιδα παντοσε ϝισην,
Ταυρειην· της δ' ουτι διηλασεν, αλλα πολυ πριν
Εν καυλῳ εραγη δολιχον δορυ· Δηϊφοβος δε
Ασπιδα ταυρειην σχεθ' απο ϝεο, δεισε δε θυμῳ
Εγχος Μηριονεω δαϊφρονος· αυταρ ὁγ' ἡρως
Αψ ἑταϝρων ες ϝεθνος εχαζετο, χωσατο δ' αινως
Αμφοτερον, νικης τε, και εγχεος, ὁ ξυνεφαξε·
Βη δ' ιεναι παρα τε κλισιας και νηας Αχαιων,
Οισομενος δορυ μακρον, ὁ οι κλισιηθι λελειπτο·
Οἱ δ' αλλοι μαρναντο, βοη δ' ασβεστος ορωρει.
Τευκρος δε πρωτος Τελαμωνιος ανδρα κατεκτα
Ιμβριον αιχμητην, πολυϊππου Μεντορος υἱον·
Ναιε δε Πηδαιον, πριν γ' ελθειν υἱας Αχαιων,
Κουρην δε Πριαμοιο νοθην εχε Μηδεσικαστην·
Αυταρ επει Δαναων νεες ηλυθον αμφιελισσαι,
Αψ ες Ϝιλιον ηλθε, μετεπρεπε δε Τρωεσσι·
Ναιε δε παρ Πριαμῳ· ὁ δε μιν τιε ϝισα τεκεσσι.
Τον ϝρ' υἱος Τελαμωνος ὑπ' ουατος εγχει μακρῳ
Νυξ', εκ δ' εσπασεν εγχος· ὁ δ' αυτ' επεσε, ϝμελιη ὡς,

---

154. Θεων ὸς αριστος. Deorum qui optimus: Vulgò, ωριστος· vide Λ. 288.

155. ἁπαντων. omnium: Vulgò, ἑκαστου· vide Ε. 470.

162. εν καυλῳ. in ligno prope cuspidem: Eustath.

163. απο ϝεο, δεισε δε θυμῳ. a se, timuit verò mente: Vocalis hîc ante δειδω corripitur; potuit quidem ϝεν scripsisse; vide Α. 33.

168. κλισιηθι. in tentorio: Eustathius, κλισιησφι· alii, κλισιηφι· vide Β. 418.

178. ϝμελιη ὡς. ut quondam cava concidit, aut Erymantho,
Aut Idâ in magnâ, radicitus eruta pinus. Æn. v. 448.

Ἡ τ' ορεος κορυφῃ ἑκαθεν περιφαινομενοιο
Χαλκῳ ταμνομενη τερενα χθονι φυλλα πελασσῃ·
Ὡς πεσεν· αμφι δε οι βραχε τευχεα ποικιλα χαλκῳ.
Τευκρος δ' ὡρμηθη, μεμαως απο τευχεα δυσαι·
Ἑκτωρ δ' ὁρμηθεντος ακοντισε δουρι φαεινῳ·
Αλλ' ὁ μεν αντα ϝιδων ηλευατο χαλκεον εγχος
Τυτθον· ὁ δ' Αμφιμαχον, Κτεατου υἱὸν Ακτοριωνος,
Νισσομενον πολεμονδε, κατα στηθος βαλε δουρι·
Δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αυτῳ.
Ἑκτωρ δ' ὡρμηθη κορυθα κροταφοις αραρυιαν
Κρατος αφαρπαξαι ϝμεγαλητορος Αμφιμαχοιο·
Αιας δ' ὁρμηθεντος ακοντισε δουρι φαεινῳ
Ἑκτορος· αλλ' ουπη χροος εισατο, πας δ' αρα χαλκῳ
Σμερδαλεῳ κεκαλυφθ'· ὁ δ' αρ ασπιδος ομφαλον ουτα,
Ωσε δε μιν σθενεϊ ϝμεγαλῳ· ὁ δε χασσατ' οπισσω
Νεκρων αμφοτερων· τους δ' εξεϝρυσσαν Αχαιοι·
Αμφιμαχον μεν αρα Στιχιος, διος τε Μενεσθευς,
Αρχοι Αθηναιων, κομισαν κατα λαον Αχαιων·
Ιμβριον αυτ' Αιαντε, μεμαοτε θουριδος αλκης·
Ὡς τε δυ' αιγα λεοντε, κυνων ὑπο καρχαροδοντων
Ἁρπαξαντε, φερητον ανα ϝρωπηϊα πυκνα,
Ὑψου ὑπερ γαιης μετα γαμφηλῃσιν εχοντε·
Ὡς ϝρα τον ὑψου εχοντε δυω Αιαντε κορυστα
Τευχεα συλητην, κεφαλην δ' ἀπαλης απο δειρης
Κοψεν Οϊλιαδης, κεχολωμενος Αμφιμαχοιο·
Σφαιρηδον δε μιν ἡκε ϝελιξαμενος δι' ὁμιλου,

---

181. βραχε τευχεα. collapsa ruunt immania membra
Dat tellus gemitum, et clypeum superintonat ingens. Æn. ix. 708.
Corruit in vulnus, sonitum supèr arma dedere. Æn. x. 488.

184. ὁ μεν αντα ϝιδων. ille ictum venientem a vertice velox
Prævidit, celerique elapsus corpore cessit. Æn. v. 444.

191. ουπη χροος εισατο. nusquam cutis ivit: id est, nullâ parte cutem attingere potuit; ab ειμι, eo, M. 118. Heynius cum Zenodoto, χρως ϝεισατο, cutis apparebat:

204. Σφαιρηδον δε μιν ἡκε. Pili verò ad instar id misit: Vulgò, Ἡκε δε μιν σφαιρηδον· sed ϝελισσω digamma adsciscit; A. 317.

Ἕκτορι δε προπαροιθε ποδων πεσεν εν κονιηθι.
Και τοτε δη περι κῆρι Ποσειδαων εχολωθη,
Υἱωνοιο πεσοντος εν αινῃ δηϊοτητι·
Βη δ' ιεναι παρα τε κλισιας και νηας Αχαιων,
Οτρυνεων Δαναους, Τρωεσσι δε κηδε' ετευχεν.
Ιδομενευς δε ρεθιν δουρικλυτος αντεβολησεν,
Ερχομενος παρ' ἑταιρου, ὁ οἱ νεον εκ πολεμοιο
Ηλθε, κατ' ιγνυην βεβλημενος οξεϊ χαλκῳ·
Τον μεν ἑταιροι ενεικαν, ὁ δ' ιητροις επιτειλας
Ηϊεν εκ κλισιης· ετι γαρ πολεμοιο μενοινα
Αντιααν· τον δε προσεφη κρειων Ενοσιχθων,
Εισαμενος φθογγην Ανδραιμονος υἱϊ Θοαντι,
Ὃς πασῃ Πλευρωνι και αιπεινῃ Καλυδωνι
Αιτωλοισι ϝανασσε, Θεος δ' ὡς τιετο δημῳ·
Ιδομενευ, Κρητων βουληφορε, που τοι απειλαι
Οιχονται, τας Τρωσιν απειλεον υἱες Αχαιων;
Τον δ' αυτ' Ιδομενευς, Κρητων αγος, αντιον ηυδα·
Ω Θοαν, ουτις ανηρ νυν γ' αιτιος, ὁσσον εγωγε
Γιγνωσκω· παντες γαρ επισταμεθα πτολεμιζειν·
Ουτε τινα δεος ισχει ακηριον, ουτε τις οκνῳ
Ρεικων, ανδυεται πολεμον κακον· αλλα που οὑτω
Μελλει δη φιλον ειναι ὑπερμενεϊ Κρονιωνι,
Νωνυμους απολεσθαι απ' Αργεος ενθαδ' Αχαιους.
Αλλα, Θοαν, και γαρ το παρος μενεδηϊος ησθα,
Οτρυνεις δε και αλλον, ὁθι μεθιεντα ϝιδηαι·
Τῳ νυν μητ' αποϝληγε, κελευε τε φωτι ϝεκαστῳ.
Τον δ' ημειβετ' επειτα Ποσειδαων ενοσιχθων·
Ιδομενευ, μη κεινος ανηρ ετι νοστησειεν

---

207. Υἱωνοιο. pronepotis: Actor enim Amphimachi avus Neptuni filius erat.

210. Ιδομενευς. Knightius versus centum et duos et viginti damnat, ut digressionem inutilem et futilem, et ad nauseam usque prolixam. Omnia tamen non optima esse possunt, nec delectatione hæc indigent. Vulgò, δ' αρα οἱ.

212. κατ' ιγνυην. ad cavitatem genu: id est, a parte posteriore.

225. ανδυεται. emergit: Ita A. 359, 496, H. 217; et καταδυεται, E. 140.

Εκ Τροϊης, αλλ' αυθι κυνων μελπηθρα γενοιτο,
Ὁστις επ' ηματι τωδε ϝεκων μεθιησι μαχεσθαι.
Αλλ' αγε, τευχεα δευρο ϝλαβων ιθι· ταυτα δ' αμα χρη
Σπευδειν· αι κ' οφελος τι γενωμεθα και δυ' εοντε.
Συμφερτη δ' αρετη πελει ανδρων, και μαλα λυγρων·
Νωϊ δε και κ' αγαθοισιν επισταιμεσθα μαχεσθαι.
Ὡς ϝειπων, ὁ μεν αυτις εβη Θεος αμπονον ανδρων·
Ιδομενευς δ', ὁτε δη κλισιην ευτυκτον ικανε,
Δυσατο τευχεα καλα περι χροϊ, ϝελτο δε δουρε·
Βη δ' ιμεν αστεροπη εναλιγκιος, ην τε Κρονιων
Χειρι ϝλαβων ετιναξεν απ' αιγληεντος Ολυμπου,
Δεικνυς σημα βροτοισιν· αριζηλοι δε ϝοι αυγαι·
Ὡς του χαλκος ελαμπε περι στηθεσσι θεοντος.
Μηριονης δε ϝεθιν, θεραπων εϋς, αντεβολησεν,
Εγγυς ετι κλισιης· μετα γαρ δορυ χαλκεον ηεν
Οισομενος· τον δε προσεφη σθενος Ιδομενηος·
Μηριονη, Μολου υἱε, ποδας ταχυ, φιλταθ' ἑταιρων,
Τιπτ' ηλθες πολεμον τε λιπων και δηϊοτητα;
Ηε τι βεβληαι, βελεος δε σε τειρει ακωκη;
Ηε τευ αγγελιης μετ' εμ' ηλυθες; ουδε τοι αυτος
Ἡσθαι ενι κλισιηθι λιλαιομαι, αλλα μαχεσθαι.
Τον δ' αυ Μηριονης πεπνυμενος αντιον ηυδα·
Ιδομενευ, Κρητων βουληφορε χαλκοχιτωνων,
Ερχομαι, ει τι τοι εγχος ενι κλισιηθι λελειπται,
Οισομενος· το νυ γαρ κατεαξα μεν, ὁ πριν εχεσκον,
Ασπιδα Δηϊφοβοιο βαλων ὑπερηνορεοντος.
Τον δ' αυτ' Ιδομενευς, Κρητων αγος, αντιον ηυδα·
Δουρατα γ', αι κ' εθελησθα, και ἑν και εϝεικοσι δηεις,

δυοντο primam corripit, o. 345, et δυων, Φ. 232; contrà δυω et δυη in octo locis producunt; z. 340; forsitan tamen, δυνω, vel δυσω legendum.

253, 256. ενι κλισιηθι. in tentorio: Vulgò, ενι κλισιησι· vide B. 418. Ita, κλισιηθεν, a tentorio, N. 296.

257. το νυ γαρ κατεϝαξα μεν. hoc jam enim confregi quidem: Ita MS. unus, nec scrupulum invenio. Vulgò, κατεαξαμεν, unâ voce; sed Homerus rarò ita plurali utitur, et malè cum οισομενος et εχεσκον concordat. Bentleius, κατεϝαξα μοι, et Od. ε. 316, ι. 283, citat.

Ἑσταοτ' εν κλισιῃ προς ενωπια παμφανοωντα,
Τρωϊα, τα κταμενων απαειρομαι· ου γαρ οἰω
Ανδρων δυσμενεων ἑκας ἱσταμενος πολεμιζειν.
Τῳ μοι δουρατα τ' εστι, και ασπιδες ομφαλοεσσαι,
Και κορυθες, και θωρηκες λαμπρον γανοωντες.
Τον δ' αυ Μηριονης πεπνυμενος αντιον ηυδα·
Και τοι εμοι παρα τε κλισιῃ και νηϊ μελαινῃ
Πολλ' εναρα Τρωων· αλλ' ου σχεδον εστι γελεσθαι.
Ουδε γαρ ουδ' εμε φημι λελασμενον εμμεναι αλκης,
Αλλα μετα πρωτοισι μαχην ανα κυδιανειραν
Ἱσταμαι, ὁπποτε νεικος ορωρησι πτολεμοιο.
Αλλον που τινα μαλλον Αχαιων χαλκοχιτωνων
Ληθω μαρναμενος, σε δε ριδμεναι αυτον οἰω.
Τον δ' αυτ' Ιδομενευς, Κρητων αγος, αντιον ηυδα·
Ϝοιδ' αρετην ὁς αρ εσσι· τι σε χρη ταυτα λεγεσθαι;
Ει γαρ νυν παρα νηυσι λεγοιμεθα παντες αριστοι
Ες λοχον, ενθα μαλιστ' αρετη διαϝειδεται ανδρων,
Ενθ' ὁ τε δειλος ανηρ, ὁς τ' αλκιμος, εξεφαανθη·
Του μεν γαρ τε κακου τρεπεται χρως αλλυδις αλλῃ,
Ουδε ϝοι ατρεμας ἡσθαι ερρητυετ' εν φρεσι θυμος,

---

262. τα κταμενων απαειρομαι. quæ a mortuis tollo: vide A. 230, 275. Vulgò, αποαινυμαι· sed απο non elidi nequit. Potuit etiam, κταμενοισιν, vel κταμενωφιν scripsisse.

264. Τῳ μοι δουρατα τ' εστι. Quare mihi hastæque sunt: Vulgò τε omittitur.

265. λαμπρον γανοωντες. splendidè lucentes: Ita Hesychius.

271. ορωρησι. oriatur: Ita I. 606; vulgò, ορωρηται· sed ορωρομαι non alibi in Iliade, licèt bis in Odysseâ, occurrit. Duplex consonans in πτολεμοιο servata veram lectionem indicat.

275. Ϝοιδ' αρετην ὁς αρ εσσι. Scio virtute qui sanè sis: Vulgò, οἱος εσσι, contra metrum; vide Σ. 105, A. 489.

276. λεγοιμεθα. seligaremur: Ita, λεξασθαι, B. 125.

278. Ενθ' ὁ τε δειλος ανηρ, ὁς τ' αλκιμος. Ubi quique timidus homo, quique fortis apparet: δρειλος fuisse opinor; vide A. 33. Hinc constat ὁ et ὁς idem valere.

281. μετοκλαζει. genua labat: γονατιζει, Hesychius.

282. Εν δε ϝεθιν κραδιην. In pectoribus verò ei cor: Vulgò, Εν δε τε οἱ.

285. επει δη. quando: Vulgò, επειδαν· sed hæc forma non alibi occurrit, ut Eustathius monuit. In promptu est επει κε emendare; sed particula sequelæ non postulatur.

Αλλα μετοκλαζει, και επ' αμφοτερους ποδας ἰζει·
Εν δε ϝεθιν κραδιη ϝμεγαλα στερνοισι παταϲϲει,
Κηρας οϊομενῳ· παταγος δε τε γινετ' οδοντων·
Του δ' αγαθου ουτ' αρ τρεπεται χρως, ουτε τι λιην
Ταρβεῖ, επει δη πρωτον εσιζηται λοχον ανδρων,
Αρᾶται δε ταχιϲτα μιγημεναι εν δαϊ λυγρῃ.
Ουδε τις ενθα τεον γε μενος και χειρας ονοιτο.
Ει περ γαρ κε βλειο πονευμενος, ηε τυπειης,
Ου κεν επ' αυχεν' οπιϲθε πεϲοι βελος, ουδ' ενι νωτῳ,
Αλλα κεν η ϲτερνων, η νηδυος αντιαϲειε,
Προϲϲω ϝιεμενοιο, μετα προμαχων οαριϲτυν.
Αλλ' αγε, μηκετι ταυτα λεγωμεθα, νηπυτιοι ὡς,
Ἑϲταοτες, μη που τις ὑπερφιαλως νεμεϲηϲῃ·
Αλλα ϲυγε κλιϲιηνδε κιων ϝελευ οβριμον εγχος.
Ὡς φατο· Μηριονης δε, θοῳ αταλαντος Αρηϊ,
Καρπαλιμως κλιϲιηθεν ανεϝλετο χαλκεον εγχος·
Βη δε μετ' Ιδομενηα, ϝμεγα πτολεμοιο μεμηλως·
Οἷος δε βροτολοιγος Αρης πολεμονδε μετειϲι,
Τῳ δε Φοβος, φιλος υἱος, ἁμα κρατερος και αταρβης,
Ἑϲπεται, ὃς τ' εφοβηϲε ταλαφρονα περ πολεμιϲτην·

---

286. εν δαϊ λυγρῃ. in prælio miserabili: In hoc sensu δαϊ nullam aliam formam aut casum habet; δαΐς, fax, δαΐδος format.

287. Ουδε τις ενθα. Neque quivis ibi: Ita Bentleius; vulgò, Ουδε κεν· sed caput sententiæ postulatur. Ονομαι, ut διδομαι, formatur.

289. Ου κεν επ' αυχεν' οπιϲθε. Non tum super collum a tergo: pro αυχενα. Alii, εν αυχεν'· sed dativus in ι rarò eliditur; Δ. 259.

at non, Evandre, pudendis
Vulneribus pulsum aspicies. Æn. xi. 55.

292. ταυτα λεγωμεθα. hæc loquamur: Ita, λεγεϲθαι, Ν. 275; vide Β. 222.

298. Οἷος δε βροτολοιγος Αρης.

Qualis apud gelidi cùm flumina concitus Hebri
Sanguineus Mavors clypeo increpat, atque furentes
Bella movens immittit equos; illi æquore aperto
Ante Notos Zephyrosque volant; gemit ultima pulsu
Thraca pedum; circùmque atræ formidinis ora,
Iræque, insidiæque, Dei comitatus aguntur. Æn. xii. 331.

300. Ἑϲπεται. Sequitur: Ita Bentleius; vulgò, Ἑϲπετο.

Τω μεν αρ εκ Θραϊκης Εφυρους μετα θωρησσεσθον,
Ηε μετα Φλεγυας ϝμεγαλητορας· ουδ' αρα τωγε
Εκλυον αμφοτερων, ἑτεροισι δε κυδος εδωκαν·
Τοιοι Μηριονης τε και Ιδομενευς, αγοι ανδρων,
Ηϊσαν ες πολεμον, κεκορυθμενοι αιθοπι χαλκῳ.
Τον και Μηριονης προτερος προς μυθον εφειπε·
Δευκαλιδη, πη τ' αρ μεμονας καταδυναι ὁμιλον;
Η επι δεξιοφιν παντος στρατου, η ανα μεσσους,
Η επ' αριστεροφιν; επει ουποθι ϝελπομαι οὕτω
Δευεσθαι πολεμοιο καρηκομοωντας Αχαιους.
Τον δ' αυτ' Ιδομενευς, Κρητων αγος, αντιον ηυδα·
Νηυσι μεν εν μεσσῃσιν αμυνειν εισι και αλλοι,
Αιαντες τε δυω, Τευκρος θ', ὁς αριστος Αχαιων
Τοξοσυνῃ, αγαθος δε και εν σταδιῃ ὑσμινῃ·
Οἱ μιν αδην ελοωσι και εϝσυμενον πολεμοιο,
Ἑκτορα Πριαμιδην, και ει μαλα καρτερος εστιν.
Αιπυ ϝεθιν εσεται, μαλα περ μεμαωτι μαχεσθαι,
Κεινων νικησαντι μενος και χειρας ααπτους,
Νηας ενιπρησαι, ὁτε μη αυτος γε Κρονιων
Εμβαλοι αιθομενον δαλον νηεσσι θοῃσιν.
Ανδρι δε κ' ου ϝειξειε ϝμεγας Τελαμωνιος Αιας,
Ὁς θνητος τ' ειη, και εδοι Δημητερος ακτην,
Χαλκῳ τε ϝρηκτος, ϝμεγαλοισι τε χερμαδιοισιν·
Ουδε κ' Αχιλληϊ ϝρηξηνορι χωρησειεν,
Εν γ' αυτοσταδιῃ· ποσι δ' ουπως εστιν εριζειν.
Νωϊν δ' ὡδ' επ' αριστερ' εχε στρατου, ὁϝρα ταχιστα
Ϝειδομεν, ηε τῳ ευχος ορεξομεν, ηε τις ἡμιν.
Ὡς φατο· Μηριονης δε, θοῳ αταλαντος Αρηϊ,

---

308. επι δεξιοφιν. ad dextram: Genitivus antiquus est, et cum στρατου concordat.

315. Οἱ μιν αδην ελοωσι. Qui eum abundè pellent: pro ελασουσι, ab ελαυνω. Ita, ελαων pro ελασειν, Ε. 366; ελαω in præsenti non occurrit.

317. Αιπυ ϝεθιν εσεται. Difficile ei erit: vel, Αιπυ κε ϝοι εσεται. Vulgò, Αιπυ ϝοι εσσειται· vide Β. 393.

327. ηε τῳ ευχος. aut alicui gloriam: Vide Μ. 328.

Ηρχ᾽ ιμεν, ὄφρ᾽ αφικοντο κατα στρατον, ἠ μιν ανωγει.
Οἱ δ᾽ ὡς Ιδομενηα ϝιδον, ϕλογι ϝεικελον αλκην,
Αυτον και θεραποντα συν εντεσι δαιδαλεοισι,
Κεκλομενοι καθ᾽ ὁμιλον, επ᾽ αυτῳ παντες εβησαν·
Των δ᾽ ὁμον ἱστατο νεικος, επι πρυμνῃσι νεεσσιν.
Ὡς δ᾽ ὁθ᾽ ὑπο ϝλιγεων ανεμων σπερχωσιν αελλαι
Ηματι τῳ, ὁτε κε πλειστη κονις αμφι κελευθους,
Οἱ τ᾽ αμυδις κονιης ϝμεγαλην ἱστασιν ομιχλην·
Ὡς αρα των ὁμοσ᾽ ηλθε μαχη, μεμασαν δ᾽ ενι θυμῳ
Αλληλους καθ᾽ ὁμιλον εναιρεμεν οξεϊ χαλκῳ.
Εφριξεν δε μαχη φθισιμβροτος εγχειῃσι
Μακρῃς, ἁς ειχον ταμεσιχροας· οσσε δ᾽ αμερδεν
Αυγη χαλκειη κορυθων απο λαμπομεναων,
Θωρηκων τε νεοσμηκτων, σακεων τε ϕαεινων,
Ερχομενων αμυδις· μαλα κεν θρασυκαρδιος ειη,
Ὅς τοτε γηθησειε ϝιδων πονον, ουδ᾽ ακαχοιτο.
Τω δ᾽ αμϕις ϕρονεοντε δυω Κρονου υἱε κραταιω
Ανδρασιν ἡρωεσσι τετευχατον αλγεα λυγρα.
Ζευς μεν αρα Τρωεσσι και Ἕκτορι βουλετο νικην,
Κυδαινων Αχιλῆα ποδας ταχυν, ουδ᾽ ὁγε παμπαν
Ηθελε λαον ολεσσαι Αχαιων Ϝιλιοθι προ,
Αλλα Θετιν κυδαινε, και υἱϊα καρτεροθυμον·
Αργειους δε Ποσειδαων ορουνε μετελθων,
Λαθρη ὑπεξαναδυς πολιης ἁλος· ηχθετο γεϝρα
Τρωσιν δαμναμενους, Διϊ δε κρατερως ενεμεσσα.
Η μαν αμϕοτεροισιν ὁμον γενος, ηδ᾽ ια πατρη,
Αλλα Ζευς προτερος γεγονει και πλειονα ϝοιδει.
Τῳ ϝρα και αμϕαδιην μεν αλεξεμεναι αλεεινε,

---

316. και ει. etsi: Bentleius, ει και, cum MS. uno, et ita Ε. 410, Γ. 215.

339. Εφριξεν δε μαχη. tum latè ferreus hastis
Horret ager, campique armis sublimibus ardent. Æn. xi. 601.
Horrescit strictis seges ensibus, æraque fulgent
Sole lacessita, et lucem sub nubila jactant. Æn. vii. 526.

346. τετευχατον αλγεα λυγρα. confecerunt dolores tristes: Poeta auditorem ad Trojam quasi manu ducit, et præsenti hæc narrat. Facilè, ετευχον κηδεα λυγρα, scripsisse potuit, ut Ν. 209.

349. Αχαιων Ϝιλιοθι προ. Græcorum Ilium ante: Vulgò, Αχαϊϊκον.

Λαθρη δ' αιεν εγειρε κατα στρατον, ανδρι ϝεϝοικως.
Τω δ' εριδος κρατερης και ὁμοιϊοφι πτολεμοιο
Πειραρ, επαλλαξαντες, επ' αμφοτεροισι τανυσσαν,
Αῤῥηκτον τ' αλυτον τε, το πολλων γουνατ' ελυσεν.
Ενθα, μεσαιπολιος περ εων, Δαναοισι κελευσας,
Ιδομενευς Τρωεσσιν επαλμενος εν φοβον ωρσε·
Πεφνε γαρ Οθρυονηα, Καβησοθεν ενδον εοντα,
Ὃς ῥα νεον πολεμοιο μετα κλεος ειληλουθει·
Ητεε δε Πριαμοιο θυγατρων ϝειδος αριστην,
Κασσανδρην, ανεεδνον· ὑπεσχετο δε ῥμεγα ϝεργον,
Εκ Τροϊης αϝεκοντας απωσεμεν υἱας Αχαιων.
Τῳ δ' ὁ γερων Πριαμος ὑπο τ' εσχετο, και κατενευσε
Δωσεμεναι· ὁ δε μαρναθ', ὑποσχεσιῃσι πιθησας.
Ιδομενευς δ' αυτοιο τιτυσκετο δουρι φαεινῳ,
Και βαλεν ὑψι βιβαντα τυχων, ουδ' ηρκεσε θωρηξ
Χαλκεος, ὁν φορεεσκε, μεσῃ δ' εν γαστερι πηξε·
Δουπησεν δε πεσων· ὁ δ' επευξατο, φωνησεν τε·
Οθρυονευ, περι δη σε βροτων αινιζομ' ἁπαντων,
Ει ετεον δη παντα τελευτησεις, ὁσ' ὑπεστης
Δαρδανιδῃ Πριαμῳ· ὁ δ' ὑπεσχετο θυγατερα ϝην.
Και κε τοι ἡμεις ταυτα γ' ὑποσχομενοι τελεσαιμεν·
Δοιμεν δ' Ατρεϊδαο θυγατρων ϝειδος αριστην,
Αργεος εξαγαγοντες, οπυιεμεν· αι κε συν αμμιν
Γιλιου εκπερσῃς ευ ναιομενον πτολιεθρον.
Αλλ' ἑπευ, ὁφρ' επι νηυσι συνωμεθα ποντοποροισιν
Αμφι γαμῳ· επει ουτοι εεδνωται κακοι ειμεν.
Ὡς ϝειπων, ποδος ἑλκε κατα κρατερην ὑσμινην

---

358. ὁμοιϊοφι. molesti: Vide I. 440.

359. Πειραρ, επαλλαξαντες. Terminum, alternantes, super ambos tetenderunt: id est, modò his Jupiter, modò illis Neptunus victoriam dederunt. Sic, Ενθα σφιν κατα ϝισα μαχην εταννυσσε Κρονιων, Λ. 336. Alii πειραρ pro fune accipiunt; sed in loco ad id citato, Od. μ. 51, πειρατα non nisi funis partes extremas indicat.

361. μεσαιπολιος. semicanus: Vox non alibi occurrit.

366. Κασσανδρην. juvenisque Corœbus,
Mygdonides, illis ad Trojam fortè diebus

Ἥρως Ἰδομενευς· τῷ δ' Ασιος ηλθεν αμυντωρ,
Πεζος προσθ' ἱππων· τω δε πνειοντε κατ' ωμων
Αιεν εχ' ἡνιοχος θεραπων· ὁ δε μετο θυμῳ
Ἰδομενηα βαλειν· ὁ δε μιν φθαμενος βαλε δουρι
Λαιμον ὑπ' ανθερεωνα, δια προ δε χαλκον ελασσεν·
Ηριπε δ', ὡς ὁτε τις δρυς ηριπεν, η αχερωϊς,
Η ε πιτυς βλωθρη, την τ' ουρεσι τεκτονες ανδρες
Εξεταμον πελεκεσσι νεηκεσι, νηϊον ειναι·
Ὡς ὁ προσθ' ἱππων και διφρου κειτο τανυσθεις,
Βεβρυχως, κονιης δεδραγμενος αἱματοεσσης.
Εκ δε οἱ ἡνιοχος πληγη φρενας, ἁς παρος ειχεν,
Ουδ' ὁγε τολμησεν, δαϊων ὑπο χειρας αλυξας,
Αψ ἱππους στρεψαι· τον δ' Αντιλοχος μενεχαρμης
Δουρι μεσον περονησε τυχων, ουδ' ηρκεσε θωρηξ
Χαλκεος, ὁν φορεεσκε, μεσῃ δ' εν γαστερι πηξεν.
Αυταρ ὁγ' ασθμαινων ευεργεος εκπεσε διφρου·
Ἱππους δ' Αντιλοχος, μεγαθυμου Νεστορος υἱος,
Εξελασε Τρωων μετ' εὐκνημιδας Αχαιους.
Δηϊφοβος δε μαλα σχεδον ηλυθεν Ἰδομενηος,
Ασιου αχνυμενος, και ακοντισε δουρι φαεινῳ·
Αλλ' ὁ μεν αντα ριδων ηλευατο χαλκεον εγχος
Ἰδομενευς· κρυφθη γαρ ὑπ' ασπιδι παντοσε ρινῃ,
Την αρ ὁγ' εν ρινοισι βοων και νωροπι χαλκῳ
Δινωτην φορεεσκε, δυω κανονεσσ' αραρυιαν·
Τῃ ὑπο πας εβαλη, το δ' ὑπερπτατο χαλκεον εγχος·
Καρφαλεον δε οἱ ασπις επιθρεξαντος αὐσεν
Εγχεος· ουδ' ἁλιον γε βαρειης χειρος αφηκεν,

Venerat insano Cassandræ incensus amore,
Et gener auxilium Priamo Phrygibusque ferebat. Æn. ii. 341.

330. Ριλιου πτολιεθρον. Trojæ urbem: Forsitan, Ριλοφιν πτολιεθρον, Ili urbem, ut Η. 345, Ζ. 386; et similiter Δ. 33, Φ. 433.

381. συναμεθα. intelligamus: a συνημι. Ita, ξυνετο, Od. δ. 76.

389. η αχερωϊς. aut populus alba, Aut pinus procera, quam montibus artifices Exsecuerunt securibus acutis, ut trabes navalis esset:

408. Τῃ ὑπο πας εβαλη. Sub hoc totus colligebatur: a βειλεω, Ε. 823. το δ' ὑπερπτατο. tremebunda supervolat hasta. Æn. x. 522.

410. ῥε. eam: Vulgò, ῥα· sed pronomen postulatur.

Αλλ' εβαλ' Ἱππασιδην Ὑψηνορα, ποιμενα λαων,
Ἡπαρ ὑπο πραπιδων, ειθαρ δ' ὑπο γουνατ' ελυσε.
Δηϊφοβος δ' εκπαγλον επευξατο, μακρον αϋσας·
Ου μαν αυτ' ατιτος κειτ' Ασιος· αλλα ϝε, φημι,
Εις Αϊδος περ ιοντα πυλαρταο κρατεροιο,
Γηθησειν κατα θυμον· επει ϝεθιν ωπασα πομπον.
Ὡς εφατ'· Αργειοισι δ' αχος γενετ' ευξαμενοιο·
Αντιλοχῳ δε μαλιστα δαϊφρονι θυμον ορινεν·
Αλλ' ουδ', αχνυμενος περ, εϝου αμελησεν ἑταϝρου,
Αλλα θεων περιβη, και οι σακος αμφεκαλυψε.
Τον μεν επειθ' ὑποδυντε δυω εριηρες ἑταϝροι,
Μηκιστευς, Εχιοιο παϊς, και διος Αλαστωρ,
Νηας επι γλαφυρας φερετην, βαρεα στεναχοντε.
Ιδομενευς δ' ου ϝληγε μενος ϝμεγα· ϝιετο δ' αιει
Ηε τινα Τρωων ερεβεννῃ νυκτι καλυψαι,
Η αυτος δουπησαι, αμυνων λοιγον Αχαιοις.
Ενθ' Αισυηταο Διοτρεφεος φιλον υἱον,
Ἡρῳ' Αλκαθοον· γαμβρος δ' ην Αγχισαο·
Πρεσβυτατην δ' ωπυιε θυγατρων Ἱπποδαμειαν,
Την περι κῆρι φιλησε πατηρ και ποτνια μητηρ
Εν ϝμεγαρῳ· πασαν γαρ ὁμηλικιην εκεκαστο
Καλλεϊ, και ϝεργοισιν, ιδε φρεσι· τουνεκα και μιν
Γημεν ανηρ, ὁς αριστος ενι Τροϊῃ ευρειῃ·
Τον τοθ' ὑπ' Ιδομενηϊ Ποσειδαων εδαμασσε,

---

414. ατιτος. inultus: a τιω. Vide Ξ. 484.

415. πυλαρταο κρατεροιο. portis aptati fortis: Forsitan, πυλας κρατερως αραρυιας· vide Θ. 367. Vulgò in versu sequenti, επει ϝα οἱ.

418. Αντιλοχῳ. Knightius sex versus damnat, ut a Θ. 330 malè illatos.

433. Γημεν ανηρ, ὁς αριστος. Duxit vir, qui optimus in Trojâ latâ: Ita Ν. 313; vulgò, αριστος· Λ. 288. Eustathius post hunc tres versus memorat.

Πριν Αντηνορίδας τραφεμεν, και Πανθοου υἱας,
Πριαμιδας θ', οἱ Τρωσι μετετρεπον ἱπποδαμοισιν,
Ἑως εθ' ἱβην ειχεν, οφελλε δε κουριον αιθος.

435. Θελξας ομμε φαεινα. Mulcens oculos lucidos: Vox ομμε dualis et neutralis est, nec in alio casu occurrit.

443. ουριαχον πελεμιξεν Εγχος. manubrium quassavit Hastæ: id est,

Θελξας οσσε φαεινα, πεδησε δε φαιδιμα γυια.
Ουτε γαρ εξοπισω φυγεειν δυνατ', ουτ' αλεασθαι·
Αλλ', ὡς τε στηλην, η δενδρεον ὑψιπετηλον,
Ατρεμας ἑσταοτα, στηθος μεσον ουτασε δουρι
Ἥρως Ιδομενευς, ῥηξεν δε οι αμφι χιτωνα
Χαλκεον, ὁς οι προσθεν απο χροος ηρκει ολεθρον.
Δη τοτε γ' αυον αϋσεν, ερεικομενος περι δουρι·
Δουπησεν δε πεσων, δορυ δ' εν κραδιῃ επεπηγει,
Ἡ ῥεθιν ασπαιρουσα, και ουριαχον πελεμιξεν
Εγχεος· ενθα δ' επειτ' αφιει μενος οβριμος Αρης.
Ιδομενευς δ' εκπαγλον επευξατο, μακρον αϋσας·
Δηϊφοβ', η αρα δη τι ῥεϊσκομεν ἀξιον ειναι
Τρεις ἑνος αντιπεφασθαι, επει συ περ ευχεαι αυτως·
Δαιμονι', αλλα και αυτος εναντιος ἱστασ' εμειο,
Ὄφρα ἰδῃς, οἷος Ζηνος γονος ενθαδ' ἱκανω·
Ὃς πρωτον Μινωα τεκε Κρητηθιν επουρον·
Μινως δ' αυ τεκεθ' υἱον αμυμονα Δευκαλιωνα·
Δευκαλιων δ' εμε τικτε, πολεσσ' ανδρεσσι ϝανακτα,
Κρητῃ εν ευρειῃ· νυν δ' ενθαδε νηες ενεικαν,
Σοι τε κακον, και πατρι, και αλλοισι Τρωεσσιν.
Ὡς φατο· Δηϊφοβος δε διανδιχα μερμηριξεν,
Η τινα που Τρωων ἑταῤῥισσαιτο ϝμεγαθυμων,
Αψ αναχωρησας, η πειρησαιτο και οιος.
Ὧδε δε οι φρονεοντι δοασσατο κερδιον ειναι,

---

partem extremam, quæ acuta erat, ut in terrâ figeretur; unde, παρα δ' εγχεα μακρα πεπηγεν, Γ. 135, et vide Samuel. 2. 2. 23, ubi Abnerus Asahelem hastæ parte posteriore interficit. Vulgò in initio versus, Ἡ ῥα οἱ.

444. αφιει μενος οβριμος Αρης. remisit robur terribilis Mars: id est, hastæ. Alii ad Alcathoum referunt; sed bis iterum legitur, ubi hunc sensum non admittit; Π. 613, P. 529. Knightius versum damnat.

446. η αρα δη τι ῥεϊσκομεν ἀξιον ειναι. certè sanè revera quid judicabamus dignum esse Tres pro uno occidi, quoniam tu tamen jactas incassum: Ita, ἐῤῥεϊσκομεν, Φ. 332. Tres pro uno Othryoneus, Asius, et Alcathous pro Hypsenore erant.

450. Μινωα τεκε Κρητηθιν επουρον. Minoa genuit Cretæ custodem: Nihil igitur Homerus de altero Minoe scivit; Od. τ. 180. Vulgò, Κρητῃ επιουρον· sed ουρος digamma non præfigit; Θ. 80.

Βηναι επ' Αινειαν· τον δ' ὑστατον εὑρεν ὁμιλου
Ἑσταοτ'· αιει γαρ Πριαμῳ επεμηνιε διῳ,
Οὑνεκ' αρ, εσθλον εοντα μετ' ανδρασιν, ουτι τιεσκεν·
Αγχοθι δ' ἱσταμενος ϝεπεα πτεροεντα προσηυδα·
Αινεια, Τρωων βουληφορε, νυν σε μαλα χρη
Γαμβρῳ αμυνεμεναι, ει περ τι σε κηδος ἱκανει·
Αλλ' ἑπευ, Αλκαθοῳ επαμυνομεν, ὁς σε παρος περ
Γαμβρος εων εθρεψε δομοις ενι, τυτθον εοντα·
Τον δε τοι Ιδομενευς δουρικλυτος εξεναριξεν.
Ὡς φατο· τῳ δ' αρα θυμον ενι στηθεσσιν ορινε·
Βη δε μετ' Ιδομενηα, ϝμεγα πτολεμοιο μεμηλως.
Αλλ' ουκ Ιδομενηα φοβος ϝλαβε, τηλυγετον ὡς,
Αλλ' εμεν', ὡς ὁτε τις συς ουρεσιν αλκι πεποιθως,
Ὅς τε μενει κολοσυρτον επερχομενον πολυν ανδρων
Χωρῳ εν οιοπολῳ, ϝρισσει δε τε νωτον ὑπερθεν·
Οφθαλμω δε ϝεθιν πυρι λαμπετον· αυταρ οδοντας
Θηγει, αλεξασθαι μεμαως κυνας ηδε και ανδρας.
Ὡς μενεν Ιδομενευς δουρικλυτος, ουδ' ὑπεχωρει,
Αινειαν επιοντα βοη θοον· αυε δ' ἑταϝρους,
Ασκαλαφον τ' εσορῶν, Αφαρηα τε, Δηϊπυρον τε,
Μηριονην τε, και Αντιλοχον, μηστωρας αϋτης·
Τους ὁγ' εποτρυνων ϝεπεα πτεροεντα προσηυδα·
Δευτε, φιλοι, μεθιν οιῳ αμυνετε· δειδια δ' αινως
Αινειαν επιοντα ποδας ταχυν, ὁς μοι επεισιν·
Ὅς μαλα καρτερος εστι μαχῃ ενι φωτας εναιρειν·
Και δ' εχει ἡβης ανθος, ὁ τε κρατος εστι ϝμεγιστον.
Ει γαρ ὁμηλικιηθι γενοιμεθα τῳδ' ενι θυμῳ,
Αιψα κεν ηε φεροιτο ϝμεγα κρατος, ηε φεροιμην.
Ὡς εφαθ'· οἱ δ' αρα παντες, ἑνα ϕρεσι θυμον εχοντες,

---

474. Οφθαλμω δε ϝεθιν. Oculi verò ei: Vulgò, δ' αρα οἱ.

481. Δευτε, φιλοι, μεθιν οιῳ αμυνετε. Adeste, amici, mihi soli opitulamini: Vulgò, και μ' οιῳ· sed δευτε et δευρο nexum post se non poscunt, et μοι elidi nequit; z. 165.

485. ὁμηλικιηθι. in eadem ætate: Vulgò, ὁμηλικιῃ γεγενοιμεθα, quæ forma inventa est ad locum dativi antiqui supplendum; vide в. 418.

Πλησιοι εστησαν, σακε' ωμοισι κλιναντες.
Αινειας δ' ἑτερωθεν εκεκλετο ϝοις ἑταϝροισι,
Δηϊφοβον τε, Παριν τ' εσορῶν, και Αγηνορα διον,
Οἱ ϝοι ἀμ' ἡγεμονες Τρωων εσαν· αυταρ επειτα
Λαοι ἑπονθ', ὡς ει τε μετα κτιλον ἑσπετο μηλα
Πινεμεν εκ βοτανης· γανυται δ' αρα τε φρενα ποιμην·
Ὡς Αινειᾳ θυμος ενι στηθεσσι γεγηθει,
Ὡς ϝιδε λαων ϝεθνος επισπομενον ϝεθιν αυτῳ.
Οἱ δ' αμφ' Αλκαθοῳ αυτοσχεδον ὡρμηθησαν
Μακροισι ξυστοισι· περι στηθεσσι δε χαλκος
Σμερδαλεον κοναβιζε, τιτυσκομενων καθ' ὁμιλον
Αλληλων· δυο δ' ανδρες Αϝρηϊοι, ἐξοχον αλλων,
Αινειας τε, και Ιδομενευς, αταλαντοι Αϝρηϊ,
Γιεντ' αλληλων ταμεειν χροα νηλεϊ χαλκῳ.
Αινειας δε πρωτος ακοντισεν Ιδομενηος·
Αλλ' ὁ μεν αντα ϝιδων ηλευατο χαλκεον ἐγχος·
Αιχμη δ' Αινειαο κραδαινομενη κατα γαιης
Ωιχετ', επει ϝρ' ἀλιον στιβαρης απο χειρος ορουσεν.
Ιδομενευς δ' αρα Ϝοινομαον βαλε γαστερα μεσσην·
Ϝρηξε δε θωρηκος γυαλον, δια δ' εντερα χαλκος
Ηφυσ'· ὁ δ' εν κονιηθι πεσων ϝελε γαιαν αγοστῳ.
Ιδομενευς δ' εκ μεν νεκυος δολιχοσκιον ἐγχος
Εσπασατ', ουδ' αρ ετ' αλλα δυνησατο τευχεα καλα
Ωμοιϊν απερλεσθαι· επειγετο γαρ βελεεσσιν.
Ου γαρ ετ' εμπεδα γυια ποδων ην ὁρμηθεντι,
Ουτ' αρ επαϊξαι μετ' ϝεον βελος, ουτ' αλεασθαι·
Τῳ ϝρα και εν σταδιῃ μεν αμυνετο νηλεες ημαρ,
Τρεσσαι δ' ουκετι ϝριμφα ποδες ϝερον εκ πολεμοιο·
Του δε βαδην απιοντος ακοντισε δουρι φαεινῳ

---

493. Πινεμεν εκ βοτανης. Ad bibendum ex pascuo: Vulgò, Πιομεν', quod pro Πιομενα accipitur; sed πιω et φαγω vocem mediam non habent. MS. unus πιεμεν habet; sed πιω primam alibi corripit.

495. επισπομενον ϝεθιν αυτῳ. sequens se ipsum: Vulgò, ἑοι. Knightius hunc versum et præcedentem damnat.

515. Τρεσσαι. Fugere: id est, ad fugiendum.

Δηϊφοβος· δη γαρ οι εχεν κοτον εμμενες αιει·
Αλλ' ὁγε και τοθ' ἁμαρτεν, ὁ δ' Ασκαλαφον βαλε δουρι,
Υἱον Ενυαλιοιο, δι' ωμου δ' οβριμον εγχος
Εσχεν· ὁ δ' εν κονιηθι πεσων ρελε γαιαν αγοστῳ.
Ουδ' αρα πω τι πεπυστο βριηπυος οβριμος Αρης
Υἱος εοιο πεσοντος ενι κρατερῃ ὑσμινῃ·
Αλλ' ὁγ' αρ ακρῳ Ολυμπῳ ὑπο χρυσεοισι νεφεσσιν
Ἡστο, Διος βουλῃσι ρεθελμενος, ενθα περ αλλοι
Αθανατοι Θεοι ησαν εεργομενοι πολεμοιο.

Οἱ δ' αμφ' Ασκαλαφου αυτοσχεδον ὡρμηθησαν·
Δηϊφοβος μεν απ' Ασκαλαφου πηληκα φαεινην
Ἡρπασε· Μηριονης δε θοῳ αταλαντος Αρηϊ
Δουρι βραχιονα τυψεν επαλμενος, εκ δ' αρα χειρος
Αυλωπις τρυφαλεια χαμαι βομβησε πεσουσα.
Μηριονης δ' εξαυτις επαλμενος, αιγυπιος ὡς,
Εκρερυσε πρυμνοιο βραχιονος οβριμον εγχος·
Αψ δ' ἑταιρων ες ρεθνος εχαζετο· τον δε Πολιτης,
Αυτοκασιγνητος, περι μεσσῳ χειρε τιτηνας,
Εξηγεν πολεμοιο δυσηχεος, ὁφρ' ἱκεθ' ἱππους
Ωκεας, οἱ ρα οπισθε μαχης ηδε πτολεμοιο
Ἑστασαν, ἡνιοχον τε και ἁρματα ποικιλ' εχοντες·
Οἱ τονγε προτι ραστυ φερον βαρεα στεναχοντα,
Τειρομενον· κατα δ' αἱμα νεουτατου ερρεε χειρος.
Οἱ δ' αλλοι μαρναντο, βοη δ' ασβεστος ορωρει.
Αινειας δ' Αφαρηα Καλητοριδην επορουσας
Λαιμον τυψ', επι ρα τετραμμενον, οξεϊ δουρι.

---

521. βριηπυος. valdè clamans: Knightius quinque versus damnat.

529. βραχιονα. brachium: A βραχυς, quia ossa brachii osse humeri breviora sunt. "Brachium constat ex ossibus duobus. Radius, quem Græci κερκιδα appellant, superior breviorque, Cubitus inferior longiorque." Celsus, lib. viii. c. 1. Idem totum os a scapulâ ad cubitum humerum vocat. Vide Π. 323. Ita Ovidius.

Laudat digitosque, manusque,
Brachiaque, et nudos mediâ plus parte lacertos. Met. i. 501.

539. νεουτατου ερρεε χειρος. a noviter vulnerato fluebat brachio: vulnus enim in brachio erat. Χειρ sæpe omne a cubito ad digitos denotat, ut

Εκλινθη δ' ἑτερωσε καρη, επι δ' ασπις ανηφθη,
Και κορυς· αμφι δε οι θανατος χυτο θυμοῤῥαϊστης.
Αντιλοχος δε Θοωνα, μεταστρεφθεντα δοκευσας,
Ουτασ' επαϊξας· απο δε φλεβα πασαν εκερσεν,
Ἣ τ' ανα νωτα θεουσα διαμπερες αυχεν' ικανει·
Την απο πασαν εκερσεν· ὁ δ' ὑπτιος εν κονιηθι
Καππεσεν, αμφω χειρε φιλοις ἑταιροισι πετασσας.
Αντιλοχος δ' εποροὺσε, και αινυτο τευχε' απ' ωμων,
Παπταινων· Τρωες δε περισταδον αλλοθεν αλλος
Ουταζον σακος ευρυ παναιολον, ουδε δυναντο
Εισω επιγραψαι τερενα χροα νηλεϊ χαλκῳ
Αντιλοχου· περι γεῤῥα Ποσειδαων ενοσιχθων
Νεστορος υἱον εῤῥυτο, και εν πολλοισι βελεσσιν.
Ου μεν γαρ ποτ' ανευ δαϊων ην, αλλα κατ' αυτους
Στρωφᾶτ'· ουδε οι εγχος εχ' ατρεμας, αλλα μαλ' αιει
Ϝσειομενον ϝεϝελικτο· τιτυσκετο δε ϕρεσι ϝῃσιν,
Ἡ τευ ακοντισσαι, ηε σχεδον ὁρμηθηναι.
Αλλ' ου ληθ' Αδαμαντα τιτυσκομενος καθ' ὁμιλον,
Ασιαδην, ὁ οι ουτα σακος μεσον οξεϊ χαλκῳ,
Εγγυθεν ὁρμηθεις· αμενηνωσεν δε οι αιχμην
Κυανοχαιτα Ποσειδαων, βιοτοιο μεγηρας.
Και το μεν αυτοθι μειν', ὡς τε σκωλος πυρικαυστος,
Εν σακει Αντιλοχοιο, το δ' ἡμισυ κειτ' επι γαιης·
Αψ δ' ἑταῖρων ες ϝεθνος εχαζετο, κηρ' αλεεινων·
Μηριονης δ' απιοντα μετασπομενος βαλε δουρι
Αιδοιων τε μεσηγυ και ομφαλου· ενθα μαλιστα

---

modò, N. 529; ita, χειρ' επι καρπῳ, E. 883; χειρα μεσην αγκωνος ενερθεν, Λ. 252; et, χειρος πηχυν, Φ. 166. Νεουτατος iterum occurrit, Σ. 536.

543. επι δ' ασπις ανηφθη. super verò scutum annectebatur: Ita, εκ δ' αυτου πειρατ' ανηφθω, Od. μ. 51, et alibi. Vulgò, ἑαφθη pro ἡφθη ab ἁπτω· sed vocalis ita dissolvi nequit. Potuit etiam, ap ἡφθη, scripsisse.

544. θυμοῤῥαϊστης. animum perdens: a ῥαιω, Π. 339, I. 78.

558. ϝεϝελικτο. vertebatur: A ϝελισσω, A. 317; vulgò, ελελικτο.

561. Ασιαδην. Asii filium: Alter Asii filius Phænops memoratur, P. 583. Vulgò, ὁς οἱ ουτα.

562. αμενηνωσεν. debilitavit: E. 887.

564. σκωλος. sudes: Alii, spina: Vox non alibi occurrit.

Γινετ' Αρης αλεγεινος οϊζυροισι βροτοισιν·
Ενθα σοι εγχος επηξεν· ὁ δ' ἑσπομενος περι δουρι
Ησπαιρ', ὡς ὁτε βους, τον τ' ουρεσι βουκολοι ανδρες
Ιλλασιν ουκ εθελοντα βιῃ δησαντες αγουσιν·
Ὡς ὁ τυπεις ησπαιρε μινυνθα περ, ουτι μαλα δην,
Ὁφρα σοι εκ χροος εγχος ανεσπασατ' εγγυθεν ελθων
Ἥρως Μηριονης· τον δε σκοτος οσσ' εκαλυψε.
Δηϊπυρον δ' Ἑλενος ξιφεϊ σχεδον ηλασε κορσην
Θρηϊκιῳ, μεγαλῳ, απο δε τρυφαλειαν αραξεν·
Ἡ μεν αποπλαγχθεισα, χαμαι πεσε· και τις Αχαιων
Μαρναμενων μετα ποσσι κυλινδομενην εκομισσε·
Τον δε κατ' οφθαλμων ερεβεννη νυξ εκαλυψεν.
Ατρεϊδην δ' αχος εβλε, βοην αγαθον Μενελαον.
Βη δ' επαπειλησας Ἑλενῳ ἠρωϊ γανακτι,
Οξυ δορυ κραδαων· ὁ δε τοξου πηχυν ανελκε.
Τω δ' αρ ὁμαρτητην, ὁ μεν εγχειϊ οξυοεντι
Γιετ' ακοντισσαι, ὁ δ' απο νευρηφιν οϊστῳ·
Πριαμιδης μεν επειτα κατα στηθος βαλεν ιῳ
Θωρηκος γυαλον, απο δ' επτατο πικρος οϊστος.
Ὡς δ' ὁτ' απο πλατεος πτυοφιν μεγαλην κατ' αλωην
Θρωσκουσιν κυαμοι μελανοχροες, η ερεβινθοι,
Πνοιῃ ὑπο βλιγυρῃ και λικμητηρος εβρωῃ·
Ὡς απο θωρηκος Μενελαου κυδαλιμοιο,
Πολλον αποπλαγχθεις, ἑκας επτατο πικρος οϊστος.
Ατρεϊδης δ' αρα χειρα, βοην αγαθος Μενελαος,
Την βαλεν, ἡ ῥ' εχε τοξον εϋξοον· εν δ' αρα τοξῳ
Αντικρυ δια χειρος εληλατο χαλκεον εγχος.
Αψ δ' ἑταβρων ες εθνος εχαζετο, κηρ' αλεεινων,
Χειρα παρακρεμασας· το δ' εφελκετο μειλινον εγχος·

---

572. Ιλλασιν. Funibus: Hesychius, Ιλλαδας, σειρας εξ ἱμαντων, η σχοινους παρα την ειλησιν. Knightius ϝιλϝασιν edidit. Vide Z. 424.

585. απο νευρηφιν. a nervo: Proculdubio genitivus est, quamvis Eustathius, Clarkio probante, id neget, ut et πτυοφιν, N. 588; vide B. 145, A. 208.

599. εϋστροφῳ οιος ανθῳ. bene plexo ovis flore: id est, lanâ eximiâ. Fundæ e lanâ conficiebantur; N. 716.

Και το μεν εκ χειρος ϝερυσε ϝμεγαθυμος Αγηνωρ,
Αυτην δε ξυνεδησεν εϋστροφῳ οιος αωτῳ,
Σφενδονῃ, ἡν αρα οι θεραπων εχε ποιμενι λαων.
Πεισανδρος δ' ιθυς Μενελαου κυδαλιμοιο
Ηϊε· τον δ' αγε ϝμοιρα κακη θανατοιο τελοσδε,
Σοι, Μενελαε, δαμηναι εν αινῃ δηϊοτητι.
Οἱ δ' ὁτε δη σχεδον ησαν, επ' αλληλοισιν ιοντες,
Ατρεϊδης μεν ἁμαρτε, παραι δε οι ετραπετ' εγχος.
Πεισανδρος δε σακος Μενελαου κυδαλιμοιο
Ουτασεν, ουδε δια προ δυνησατο χαλκον ελασσαι·
Εσχετο γαρ σακος ευρυ, κατεκλασθη δ' ενι καυλῳ
Εγχος· ὁ δε φρεσι ϝῃσι χαρη, και εϝελπετο νικην.
Ατρεϊδης δε, ϝερυσσαμενος ξιφος αργυροηλον,
Αλτ' επι Πεισανδρῳ· ὁ δ' ὑπ' ασπιδος εϝλετο καλην
Αξινην εϋχαλκον, ελαϊνῳ αμφι πελεκκῳ,
Μακρῳ, εϋξεστῳ· ἁμα δ' αλληλων εφικοντο.
Ητοι ὁ μεν κορυθος φαλον ηλασεν ἱπποδασειης
Ακρον ὑπο ϝλοφον αυτον· ὁ δε προσιοντα μετωπον,
Ϝρινος ὑπερ πυματης· λακε δ' οστεα, τω δε οι οσσε
Παρ ποσιν αἱματοεντα χαμαι πεσον εν κονιηθιν·
Ιδνωθη δε πεσων· ὁ δε λαξ εν στηθεσι βαινων,
Τευχεα τ' εξεναριξε, και ευχομενος ϝεπος ηυδα·
Λειψετε θην οὑτω γε νεας Δαναων ταχυπωλων,
Τρωες ὑπερφιαλοι, δεινης ακορητοι αϋτης·
Αλλης μεν λωβης τε και αισχεος ουκ επιδευεις,
Ἡν εμε λωβησασθε, κακαι κυνες· ουδε τι θυμῳ
Ζηνος εριβρεμετεω χαλεπην εδδεισατε μηνιν,
Ξεινιου, ὁς τε ποτ' υμμι διαφθερσει πολιν αιπην·
Οἱ μευ κουριδιην αλοχον και κτηματα πολλα

---

616. λακε. resonuerunt: Bis iterum occurrit, et λελακως, λελακυια, X. 141, Od. μ. 85.

617. αἱματοεντα. sanguinea: Ita MSS. et Edd. Alii, αἱματοεντε.

623. Ἡν. Knightius versus septendecim damnat, ut Homero indignos.

625. πολιν αιπην. urbem altam: Ita, αιπα ϝρεεθρα, Θ. 369.

Μαψ οιχεσθ' αναγοντες, επει φιλεεσθε παρ' αυτῃ·
Νυν αυτ' εν νηυσιν μενεαινετε ποντοποροισι
Πυρ ολοον βαλεειν, κτειναι δ' ἡρωας Αχαιους·
Αλλα ποθι σχησεσθε, και εφυμενοι περ, Αρηος.
Ζευ πατερ, η τε σε φασι περι φρενας εμμεναι αλλων,
Ανδρων ηδε Θεων· σεο δ' εκ ταδε παντα πελονται·
Οἱον δη ανδρεσσι χαριζεαι ὑβριστῃσι
Τρωσιν, των μενος αιεν ατασθαλον, ουδε δυνανται
Φυλοπιδος κορεσασθαι ὁμοιϊοφι πτολεμοιο.
Παντων μεν κορος εστι, και ὑπνου, και φιλοτητος,
Μολπης τε γλυκερης, και αμυμονος ορχηθμοιο·
Των περ τις και μαλλον εφελδεται ἐξ ερον εἶναι,
Η πολεμου· Τρωες δε μαχης ακορητοι εασιν.
Ὡς φειπων, τα μεν εντε' απο χροος αἱματοεντα
Συλησας, ἑταφροισι δίδου Μενελαος αμυμων·
Αυτος δ' αυτ' εξαυτις ιων προμαχοισιν εμιχθη.
Ενθα φοι υἱος επαλτο Πυλαιμενεος βασιληος
Ἀρπαλιων, ὁ φρα πατρι φιλῳ ἑπετο πτολεμιζων
Ες Τροϊην, ουδ' αυτις αφικετο πατριδα γαιαν·
Ὁς φρα τοτ' Ατρεϊδαο μεσον σακος ουτασε δουρι
Εγγυθεν, ουδε δια προ δυνησατο χαλκον ελασσαι·
Αψ δ' ἑταφρων ες φεθνος εχαζετο, κηρ' αλεεινων,
Παντοσε παπταινων, μη τις χροα χαλκῳ επαυρῃ.
Μηριονης δ' απιοντος ἰει χαλκηρε' οϊστον·
Και ῥ' εβαλε γλουτον κατα δεξιον· αυταρ οϊστος
Αντικρυ κατα κυστιν ὑπ' οστεον εξεπερησεν.
Ἑζομενος δε κατ' αυθι, φιλων εν χερσιν ἑταφρων,
Θυμον αποπνειων, ὡς τε σκωληξ, επι γαιῃ

---

635. ὁμοιϊοφι. molesti: Vulgò, ὁμοιϊου· vide I. 440.

644. ὁ φρα. qui sanè: Ed. Pr. ὁς ῥα, contra metrum.

651. Και ῥ' εβαλε. Et eum percussit: Vulgò, Και β' εβαλε.

654. ὡς τε σκωληξ. veluti vermis: Aptè vulnerati tortum exprimit.

656. Τον μεν Παφλαγονες. Knightius quatuor versus damnat, quia Pylæmenes, Paphlagonum rex, antea interfectus sit, E. 576.

669. θωην. mulctam: nempe eam, quæ militiam detrectantibus impo-

Κειτο ταθεις· εκ δ' αἱμα μελαν ῥεε, δευε δε γαιαν.
Τον μεν Παφλαγονες ῥμεγαλητορες αμφεπενοντο·
Ες δἰφρον δ' ανεσαντες, αγον προτι Γιλιον ἱρην
Αχνυμενοι· μετα δε σφι πατηρ κιε, δακρυα λειβων·
Ποινη δ' ουτις παιδος εγινετο τεθνειωτος.
Του δε Παρις μαλα θυμον αποκταμενοιο χολωθη·
Ξεινος γαρ οἱ εεν πολεσιν μετα Παφλαγονεσσι.
Του ὁγε χωομενος προϊει χαλκηρε' οἱστον·
Ην δε τις Ευχηνωρ, Πολυϊδου μαντιος υἱος,
Αφνειος τ', αγαθος τε, Κορινθοθι ῥοικια ναιων,
Ὁς ῥ' ευ ῥειδως κηρ' ολοην, επι νηος εβαινε.
Πολλακι γαρ οἱ εῥειπε γερων αγαθος Πολυϊδος,
Νουσῳ ὑπ' αργαλεῃ φθισθαι ῥοις εν ῥμεγαροισιν,
Η μετ' Αχαιων νηυσιν ὑπο Τρωεσσι δαμηναι·
Τῳ ῥ' ἁμα τ' αργαλεην θωην αλεεινεν Αχαιων,
Νουσον τε στυγερην, ἱνα μη παθοι αλγεα θυμῳ.
Τον βαλ' ὑπο γναθμοιο και ουατος· ωκα δε θυμος
Ωιχετ' απο μελεων· στυγερος δ' αρα μιν σκοτος εῥλεν.
Ὡς οἱ μεν μαρναντο, δεμας πυρος αιθομενοιο.
Ἑκτωρ δ' ουκ επεπυστο Διϊ ῥιλος, ουδε τι ῥοιδει,
Ὁῥρα ῥεθιν νηων επ' αριστερα δηϊοωντο
Λαοι ὑπ' Αργειων· ταχα κεν και κυδος Αχαιων
Επλετο· τοιος γαρ γαιηοχος Εννοσιγαιος
Ωτρυν' Αργειους, προς δε σθενει αυτος αμυνεν·
Αλλ' εχεν, ᾗ τα πρωτα πυλας και τειχος εσαλτο,
Ῥηξαμενος Δαναων πυκινας στιχας ασπισταων·
Ενθ' εσαν Αιαντος τε νεες και Πρωτεσιλαου,
Θιν' εφ' ἁλος πολιης εῥυμεναι· αυταρ ὑπερθε

---

nebatur. Ita Echepolus equam eximiam dederat; Ψ. 296. Knightius duos versus damnat.

675. Ὁῥρα ῥεθιν. Quòd ei: Vulgò, Ὁττι ῥα οἱ, et, ταχα δ' αν, in versu sequenti.

678. προς δε σθενει αυτος αμυνεν. contra verò vim ipse propellebat: id est, Trojanorum. Alii, insuper verò vi, exponunt.

681. Ενθ' εσαν Αιαντος. Heynius et Knightius versus unum et viginti damnant, ut ab aliis locis magis aptis illatos.

Τειχος εδεδμητο χθαμαλωτατον, ενθα μαλιστα
Ζαχρηεις γινοντο μαχη αυτοι τε και ἱπποι.
Ενθα δε Βοιωτοι, και Ιαϝονες ἑλκεχιτωνες,
Λοκροι, και Φθιοι, και φαιδιμοεντες Επειοι
Σπουδη επαϊσσοντα νεων εχον, ουδ' εδυναντο
Ωσαι απο σφεοφιν φλογι ϝεικελον Ἑκτορα διον.
Οἱ μεν Αθηναιων προλελεγμενοι, εν δ' αρα τοισιν
Ηρχ' υἱος Πετεοιο, Μενεσθευς, οἱ δ' ἀμ' ἑποντο
Φειδας τε, Στιχιος τε, Βιας τ' εϋς· αυταρ Επειων
Φυλεϊδης τε Μεγης, Αμφιων τε, Δρακιος τε.
Προ Φθιων δε Μεδων τε, μενεπτολεμος τε Ποδαρκης·
Ητοι ὁ μεν, νοθος υἱος Οϊληος θειοιο
Εσκε Μεδων, Αιαντος αδελφεος· αυταρ εναιεν
Εν Φυλακη γαιης απο πατριδος, ανδρα κατακτας,
Γνωτον μητρυιης Εριωπιδος, ἡν εχ' Οϊλευς·
Αυταρ ὁ, Ϝιφικλοιο παϊς του Φυλακιδαο·
Οἱ μεν προ Φθιων μεγαθυμων θωρηχθεντες,
Ναυφιν αμυνομενοι, μετα Βοιωτων εμαχοντο.
Αιας δ' ουκετι παμπαν, Οϊληος ταχυς υἱος,
Ἱστατ' απ' Αιαντος Τελαμωνιου, ουδ' ηβαιον·
Αλλ' ὡς τ' εν νειῳ βοε ϝοινοπε πηκτον αροτρον,
Ϝισον θυμον εχοντε, τιταινετον· αμφι δ' αρα σφιν
Πρυμνοισιν κεραεσσι πολυς ανακηκιει ἱδρως·
Τω μεν τε ζυγον οιον εϋξοον αμφις εεργει,
Ϝιεμενω κατ' αϝολκα ταμεσθαι τελσον αρουρης·
Ὡς τω παρβεβαωτε μαλ' ἑστασαν αλληλοιϊν.
Αλλ' ητοι Τελαμωνιαδη πολλοι τε και εσθλοι

---

685. Ιαϝονες. Athenienses: Hesych. Ita dicti ab Javone, Japeti filio, qui in Genesi, c. x. insulas gentium cum fratribus divisisse dicitur. Joseph. Ant. Jud. L. i. c. 6.

689. Οἱ μεν Αθηναιων προλελεγμενοι. Atheniensium quidem delecti Menestheus, Phidas, Stichius, et Bias erant, quorum Menestheus princeps. Constructio nonnihil implicita est, sed sensus abundè liquet. Populis nominatis, jam principes nominat.

707. Ϝιεμενω κατ' αϝολκα ταμεσθαι τελσον αρουρης. Cupidi per sulcum secare portionem arvi: Vulgò, κατα ωλκα· sed recentiorum forma αυλακα

Λαοι ἑπονθ' ἑταιροι, οἱ ϝοι σακος εξεδεχοντο,
Ὁπποτε μιν καματος τε και ἱδρως γουναθ' ἱκοιτο.
Ουδ' αρ Οἰλιαδῃ μεγαλητορι Λοκροι ἑποντο·
Ου γαρ σφιν σταδιῃ ὑσμινῃ μιμνε φιλον κῆρ·
Ου γαρ εχον κορυθας χαλκηρεας ἱπποδασειας,
Ουδ' εχον ασπιδας ευκυκλους και μειλινα δουρα·
Αλλ' αρα τοξοισιν και εὐστροφῳ οιος αωτῳ
Γιλιον εις ἀμ' ἑποντο πεποιθοτες· οἷσιν επειτα,
Ταρφεα βαλλοντες, Τρωων ϝρηγνυντο φαλαγγας.
Δη ϝρα τοθ' οἱ μεν προσθε, συν εντεσι δαιδαλεοισι,
Μαρναντο Τρωσιν τε και Ἕκτορι χαλκοκορυστῃ·
Οἱ δ' οπιθεν βαλλοντες, ελανθανον, ουδε τι χαρμης
Τρωες μιμνησκοντο· συνεκλονεον γαρ οἱστοι.
Ενθα κε λευγαλεως νηων απο και κλισιαων
Τρωες εχωρησαν προτι Γιλιον ηνεμοεσσαν,
Ει μη Πουλυδαμας θρασυν Ἕκτορα ϝειπε παραστας·
Ἕκτορ, αμηχανος εσσι παραϝρητοισι πιθεσθαι·
Οὑνεκα τοι περι δωκε Θεος πολεμηϊα ϝεργα,
Τουνεκα και βουλῃ εθελεις περι ϝιδμεναι αλλων;
Αλλ' ουπως ἁμα παντα δυνησεαι αυτος εϝλεσθαι·
Αλλῳ μεν γαρ εδωκε Θεος πολεμηϊα ϝεργα·
Αλλῳ δ' ορχηστυν, ἑτερῳ κιθαριν και αοιδην·
Αλλῳ δ' εν στηθεσσι τιθει νοον ευρυοπα Ζευς
Εσθλον, του δε τε πολλοι επαυρισκοντ' ανθρωποι,
Και τε πολεις εσαωσε, μαλιστα δε κ' αυτος ανεγνω.
Αυταρ εγω ϝερεω, ὡς μοι δοκεῖ ειναι αριστα·
Παντη γαρ σε περι στεφανος πολεμοιο δεδηε·

αϝολκα fuisse indicat, et ita Knightius edidit. Vulgò, etiam, τεμνει δε τε, contra metrum: ταμεσθαι igitur ab I. 576 intuli. Agri mensura erat, quantum duo boves in uno die arare possent.

726. παραϝρητοισι. consiliis: dictis suasoriis.

731. Αλλῳ δ' ορχηστυν. Alii verò saltationem: Versus insertus esse dicitur a Zenodoto quodam Mallote ex Od. α. 421, et Knightius damnat.

734. Και τε πολεις εσαωσε. Atque urbes servavit, præcipuè verò tum ipse intellexit: id est, sapientiæ suæ fructum percepit. Heynius et Knightius versum damnant.

Τρωες δε μεγαθυμοι, επει κατα τειχος εβησαν,
Οἱ μεν αφεστᾶσιν συν τευχεσιν, οἱ δε μαχονται
Παυροτεροι πλεονεσσι, κεδασθεντες κατα νηας.
Αλλ' αναχασσαμενος καλει ενθαδε παντας αριστους·
Ενθα δε κεν μαλα πασαν επιφρασσαιμεθα βουλην·
Η κεν ενι νηεσσι πολυκληϊσι πεσωμεν,
Αι κ' εθελησι Θεος δομεναι κρατος, η κεν επειτα
Παρ νηων ελθοιμεν απημονες· η γαρ εγωγε
Δειδω, μη το χθιζον αποστησωνται Αχαιοι
Χρειος, επει παρα νηυσιν ανηρ αρατος πολεμοιο
Μιμνει, ὃν ουκετι παγχυ μαχης σχησεσθαι οἰω.
Ὡς φατο Πουλυδαμας· ραδε δ' Εκτορι μυθος απημων·
Αυτικα δ' εξ οχεων συν τευχεσιν αλτο χαμαζε,
Και μιν φωνησας επεα πτεροεντα προσηυδα·
Πουλυδαμα, συ μεν αυτοθ' ερυκακε παντας αριστους·
Αυταρ εγω κεισ' ειμι, και αντιοω πολεμοιο·
Αιψα δ' ελευσομαι αυτις, επει κ' ευ τοις επιτειλω.
Η ρα, και ωρμηθη, ορεϊ γνιφοεντι εοικως,
Κεκληγως, δια δε Τρωων πετετ' ηδ' επικουρων.
Οἱ δ' ες Πανθοϊδην αγαπηνορα Πουλυδαμαντα
Παντες επεφευοντ', επει Εκτορος εκλυον αυδην.
Αυταρ ὁ Δηϊφοβον τε, βιην θ' Ελενοιο ϝανακτος,
Ασιαδην τ' Αδαμαντα, και Ασιον, Υρτακου υἱον,
Φοιτα ανα προμαχους διζημενος, ει που εφευροι·
Τους δ' εὑρ' ουκετι παμπαν απημονας, ουδ' ανολεθρους·
Αλλ' οἱ μεν δη, νηυσιν επι πρυμνησιν Αχαιων,
Χερσιν ὑπ' Αργειων κεατο, ψυχας ολεσαντες·
Οἱ δ' εν τειχει εσαν βεβλημενοι, ουταμενοι τε.

---

741. Ενθα δε κεν. Ibi verò tum: Vulgò, Ενθεν δ' αν.

742. πεσωμεν, ελθοιμεν. incidamus, reverteremus: Sequela, ut passim, in optativo ponitur; B. 159.

745. αποστησωνται. repondent: Ita Barnesius cum Porphyrio, Hesychio, et Eustathio; alii, αποτισωνται, contra metrum.

749. Αυτικα δ' εξ οχεων. Nonnulli versum damnant, quia Hector currum ultra fossam reliquerat.

753. επει κ' ευ. postquam bene: Vulgò, επην ευ· vide M. 369.

Τον δε ταχ' εὗρε μαχης επ' αριστερα δακρυοεσσης
Διον Αλεξανδρον, Ἑλενης ποσιν ηϋκομοιο,
Θαρσυνονθ' ἑταιρους, και εποτρυνοντα μαχεσθαι·
Αγχοθι δ' ἱσταμενος προσεφη αισχροις επεεσσι·
Δυσπαρι, ειδος αριστε, γυναιμανες, ηπεροπευτα,
Που τοι Δηϊφοβος τε, βιη θ' Ἑλενοιο ϝανακτος,
Ασιαδης τ' Αδαμας, ηδ' Ασιος, Ὑρτακου υἱος;
Που δε τοι Οθρυονευς; νυν ωλετο πασα κατακρης
Ϝιλιος αιπεινη· νυν τοι σαος αιπυς ολεθρος.
Τον δ' αυτε προσεφειπεν Αλεξανδρος θεοειδης·
Ἑκτορ, επει τοι θυμος αναιτιον αιτιαασθαι·
Αλλοτε δη ποτε μαλλον εϝρωησαι πτολεμοιο
Μελλω, επει μ' ου παμπαν αναλκιδα γεινατο μητηρ·
Εξ οὗ γαρ παρα νηυσι μαχην ηγειρας ἑταϝρων,
Εκ τουδ' ενθαδ' εοντες ὁμιλεομεν Δαναοισι
Νωλεμεως· ἑταϝροι δε κατεκταθεν, οὓς συ μεταλλᾷς·
Οιω Δηϊφοβος τε, βιη θ' Ἑλενοιο ϝανακτος,
Οιχεσθον, μακρῃσι τετυμμενω εγχειῃσιν,
Αμφοτερω κατα χειρα· φονον δ' ημυνε Κρονιων.
Νυν δ' αρχ', ὁππη σε κραδιη θυμος τε κελευει·
Ἡμεις δ' εμμεμαωτες ἁμ' ἑψομεθ', ουδε τι φημι
Αλκης δευησεσθαι, ὁση δυναμις γε παρεστι·
Παρ δυναμιν δ' ουκ εστι, και ἐϝσυμενον, πολεμιζειν.
Ὡς ϝειπων, παρεπεισεν αδελφεοφι φρενας ἠρως·
Βαν δ' ἱμεν, ενθα μαλιστα μαχη και φυλοπις ηεν,
Αμφι τε Κεβριονην, και αμυμονα Πουλυδαμαντα,
Φαλκην, Ορθαιον τε, και αντιθεον Πολυφοιτην,
Παλμυν τ', Ασκανιον τε, Μορυν θ', υἱε Ἱπποτιωνος·

---

754. ορεϊ ϝνιφοεντι ϝεϝοικως. monti nivoso similis: id est, nivis moli a monte cadenti.

772. κατακρης. a vertice: απ' ακροτατης κορυφης. Ita, κατακρηθεν, Π. 548.

773. σαος. salvus: id est, certus. Vulgò, σως· vide A. 32, X. 332.

777. επει μ' ου παμπαν. quoniam me non omnino: Vulgò, επει ουδε μ' παμπαν· sed ει diphthongus elidi nequit.

784. ὁππη. quacunque: Forsitan, ὁππ κεν, ut O. 46; vide M. 48.

Οἱ ῥ' ἐξ Ασκανιης εριβωλακος ηλθον αμοιβοι
Ηοϊ τῃ προτερῃ· τοτε δε Ζευς ωρσε μαχεσθαι.
Οἱ δ' ισαν, αργαλεων ανεμων αταλαντοι αελλῃ,
Ἡ ῥα θ' ὑπο βροντης πατρος Διος εισι πεδονδε,
Θεσπεσιῳ δ' ὁμαδῳ ἁλι μισγεται, εν δε τε πολλα
Κυματα παφλαζοντα πολυφλοισβοιο θαλασσης,
Κυρτα, φαληριοωντα, προ μεν τ' αλλ', αυταρ επ' αλλα·
Ὡς Τρωες προ μεν αλλοι αρηροτες, αυταρ επ' αλλοι,
Χαλκῳ μαρμαιροντες ἁμ' ἡγεμονεσσιν ἑποντο·
Ἕκτωρ δ' ἡγειτο, βροτολοιγῳ ῥισος Αρηϊ,
Πριαμιδης· προ ῥεθεν δ' εχεν ασπιδα παντοσε ῥισην,
Ῥινοισιν πυκινην· πολλος δ' επεληλατο χαλκος·
Αμφι δε οἱ κροταφοισι φαεινη ῥσειετο πηληξ.
Παντη δ' αμφι φαλαγγας επειρᾶτο προποδίζων,
Ει πως οἱ ῥειξειαν ὑπασπιδια προβιβῶντι.
Αλλ' ου συγχεε θυμον ενι στηθεσσιν Αχαιων.
Αιας δε πρωτος προκαλεσσατο μακρα βιβασθων·
Δαιμονιε, σχεδον ελθε· τιη δειδισσεαι οὑτως
Αργειους; ουτοι τι μαχης αδαημονες ειμεν,
Αλλα Διος ῥμαστιγι κακῃ εδαμημεν Αχαιοι.
Ἡ θην που τοι θυμος εφελπετο σ' εξαλαπαξειν
Νηας, αφαρ δε τε χειρες αμυνειν εισι και ἡμιν.
Ἡ κε πολυ φθαιη ευ ναιομενη πολις ὑμη
Χερσιν ὑφ' ἡμετερῃσι ῥαλουσα τε, περθομενη τε.
Σοι δ' αυτῳ φημι σχεδον εμμεναι, ὁπποτε φευγων
Αρησῃ Διϊ πατρι και αλλοις αθανατοισι,
Θασσονας ιρηκων εμεναι καλλιτριχας ἱππους,
Οἱ σε πολινδ' οισουσι, κονιοντες πεδιοιο.

---

798. Κυματα παφλαζοντα. Undæ impingentes multùm fervente profundo, Curvæ, cristatæ, primùm illæ, ast insuper illæ: Pulcherrima est maris tumultuantis tabula.

808. Αλλ' ου συγχεε θυμον. Sed non turbavit animum: Vulgò, συχχει· sed χεῤῥω contrahi nequit. Knightius versus triginta damnat.

813. εφελπετο σ' εξαλαπαξειν. speravit te eversurum: Vulgò, εελπεται εξαλαπαξειν· sed verbum est ῥελπομαι.

Ὡς αρα φοι ϝειποντιν επεπτατο δεξιος ορνις,
Αιετος ὑψιπετης· επι δ' ιαχε λαος Αχαιων,
Θαρσυνος οιωνῳ· ὁ δ' αμειβετο φαιδιμος Ἕκτωρ·
Αιαν ἀμαρτοεπες, βουγαιε, ποιον εϝειπες;
Αι γαρ εγων οὑτω γε Διος παϊς αιγιοχοιο
Ειην ημαται παντα, τεκοι δε με ποτνιας Ἡρη,
Τιοιμην δ', ὡς τιετ' Αθηναιη και Απολλων·
Ὡς νυν ἡμερη ἡδε κακον φερει Αργειοισι
Πασι μαλ'· εν δε συ τοισι πεφησεαι, αι κε ταλασσῃς
Μειναι εμον δορυ μακρον, ὁ τοι χροα λειριοεντα
Δαψει· αϝαρ Τρωων κορεεις κυνας ηδ' οιωνους
Δημῳ και σαρκεσσι, πεσων επι νηυσιν Αχαιων.
Ὡς αρα φωνησας, ἡγησατο· τοι δ' ἀμ' ἑποντο
Ϝηχῃ θεσπεσιῃ, επι δ' ιαχε λαος οπισθεν.
Αργειοι δ' ἑτερωθεν επιαχον, ουδ' ελαθοντο
Αλκης, αλλ' εμενον Τρωων επιοντας αριστους·
Ϝηχη δ' αμφοτερων ἱκετ' αιθερα, και Διος αυγας.

---

821. ϝειποντιν επεπτατο. dicenti advolavit: Bentleius, διεπτατο, ut o. 83.
824. βουγαιε. valde gloriose: a γαιω, glorior; Hesych. Idem de Iro dicitur, Od. σ. 78.
830. χροα λειριοεντα. cutem liliaceam: Vide r. 152.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Ξ.

ARGUMENTA.

Διος ὕπνος.
Ἐι, Κρονίδην λεχθαι φιλοτητι παρηπαφειν Ἥρη.

1. Nestor, Diomedes, Ulysses, et Agamemnon adunantur.—64. Agamemnon iterum fugere hortatur.—82. Ulysses eum increpat.—109. Diomedes ipsos quidem, cùm vulnerati sint, pugnâ abstinere, alios verò hortari suadet.—135. Neptunus eos alloquitur.—153. Juno Jovem decipere parat.—188. Cestum a Venere impetrat.—225. Somnum adit.—292. Jovem petit.—312. Jupiter ejus amore accenditur.—334. Somno nuntiante, Neptunus Græcos incitat.—402. Ajax Hectorem vulnerat.—442. Ajax minor Satnium ferit.—449. Polydamas Prothoenorem interficit.—459. Ajax major Archelochum.—476. Acamas Promachum.—487. Peneleus Ilioneum.—511. Græci multos cædunt.

ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Ξ.

Νεστορα δ' ουκ ελαθεν ιαχη, πινοντα περ εμπης,
Αλλ' Ασκληπιαδην ϝεπεα πτεροεντα προσηυδα·
Φραζεο, διε Μαχαον, ὁπως εσται ταδε ϝεργα·
Ϝμειζων δη παρα νηυσι βοη θαλερων αιζηων.
Αλλα συ μεν νυν πινε καθημενος αιθοπα ϝοινον,
Εισοκ' εϋπλοκαμος Ἑκαμηδη θερμα λοετρα
Θερμηνῃ, λοεσησι δ' απο βροτον αἱματοεντα·
Αυταρ εγων ελθων ταχα ϝισομαι ες περιωπην.
Ὡς ϝειπων, σακος εβλε τετυγμενον υἱος εροιο,
Κειμενον εν κλισιῃ, Θρασυμηδεος ἱπποδαμοιο,
Χαλκῳ παμφαινον· ὁ δ' εχ' ασπιδα πατρος εροιο.
Εβλετο δ' αλκιμον εγχος ακαχμενον ὀξεϊ χαλκῳ·
Στη δ' εκτος κλισιης, ταχα δ' εσϝιδε ϝεργον αρειους,
Τους μεν ορινομενους, τους δε κλονεοντας οπισθε
Τρωας ὑπερθυμους· ερεριπτο δε τειχος Αχαιων.
Ὡς δ' ὁτε πορφυρῃ πελαγος ϝμεγα κυματι κωφῳ,

---

1. Νεστορα. Jam ad Nestorem redit, quem in tentorio reliquerat, Λ. 803.

6. Εισοκ' εϋπλοκαμος Ἑκαμηδη θερμα λοετρα. Donec bene comata Hecamede calida lavacra Calefaciat: Vulgò, Εισοκε θερμα λοετρα εϋπλοκαμος Ἑκαμηδη· verba transposui ad hiatum tollendum. Potuit etiam ϝιοπλοκαμος scripsisse; vide Σ. 48.

7. λοεσησι δ' απο. abluat verò: Vulgò, και λουσῃ απο· sed λουω verbum non est Homericum; Ε. 6.

8. ταχα ϝισομαι ες περιωπην. citò ruam ad speculam: a ϝιεμαι, Δ. 138. Vel, ταχα ϝειδομαι, citò sciam. Vulgò, ταχα ειδομαι.

9. εροιο. sui: Turnebus malè ενος induxit.

15. ερεριπτο. eversus erat: ab ερειπω.

16. Ὡς δ' ὁτε πορφυρη. Ut verò quando æstuet: Pulcherrima hæc similitudo aptissimè animi fluctuantis motus exprimit; ut Popius monuit. Idem similem imaginem e Virgilio citat.

Sicut aquæ tremulum labris ubi lumen ahenis,

Γοσσομενον γλιγεων ανεμων λαιψηρα κελευθα,
Αυτως, ουδε γρα προκυλινδεται ουδετερωσε,
Πριν τινα κεκριμενον καταβημεναι εκ Διος ουρον·
Ὡς ὁ γερων ὥρμαινε, δαϊζομενος κατα θυμον
Διχθαδί', η μεθ' ὅμιλον ιοι Δαναων ταχυπωλων,
Ηε μετ' Ατρεϊδην Αγαμεμνονα, ποιμενα λαων.
Ὧδε δε οι φρονεοντι δοασσατο κερδιον ειναι,
Βηναι επ' Ατρεϊδην· οἱ δ' αλληλους εναριζον,
Μαρναμενοι· λακε δε σφι περι χροϊ χαλκος ατειρης,
Νυσσομενων ξιφεσιν τε και εγχεσιν αμφιγυοισι.
Νεστορι δε ξυμβληντο Διοτρεφεες βασιληες,
Παρ νηων ανιοντες, ὅσοι βεβληατο χαλκῳ,
Τυδεϊδης, Οδυσευς τε, και Ατρεϊδης Αγαμεμνων.
Πολλον γεφρ' απανευθε μαχης εφυατο νηες
Θιν' εφ' ἁλος πολιης· τας γαρ πρωτας πεδιονδε
Εφυσαν, αυταρ τειχος επι πρυμνῃσιν εδειμαν.
Ουδε γαρ ουδ', ευρυς περ εων, εδυνησατο πασας
Αιγιαλος νηας χαδεειν· στεινοντο δε λαοι.
Τῳ γρα προκροσσας φερυσαν, και πλησαν ἁπασης
Ηϊονος στομα μακρον, ὅσον συνεεργαθον ακραι.
Τῳ φρ' οἵγ', οψ' αϊοντες αϋτης και πολεμοιο,
Εγχει ερειδομενοι κιον αθροοι· αχνυτο δε σφιν

Sole repercussum, aut radiantis imagine lunæ,
Omnia pervolitat latè loca, jamque sub auras
Erigitur, summique ferit laquearia tecti. Æn. viii. 22.

17. Γοσσομενον. Prædicens stridulorum ventorum celeres vias: vide I. 167.

ceu flamina prima
Cùm deprensa fremunt sylvis, et *cæca* volutant
Murmura, venturos nautis *prodentia* ventos. Æn. x. 97.

18. Αυτως, ουδε γρα. Frustra, neque sanè: Vulgò, ουδ' αρα τε· Scholiastes monet particulam τε abundare, et ab Aristarcho illata esse dicitur.

31. τας γαρ πρωτας. primas enim in planitiem traxerant, verùm murum ad puppes extruxerant: Non hic murus erat Nestoris consilio nuper extructus; is enim spatium ante naves reliquerat, Trojanique eum jam transierant.

35. προκροσσας. pinnatim: ita ut puppes pro pinnis essent; alii, ad instar scalarum:

Θυμος ενι στηθεσσιν· ὁ δε ξυμβλητο γεραιος
Νεστωρ· πτηξε δε θυμος ενι στηθεσσιν Αχαιων·
Τον και φωνησας προσεφη κρειων Αγαμεμνων·
Ω Νεστορ Νηληϊαδη, μεγα κυδος Αχαιων,
Τιπτε λιπων πολεμον φθισηνορα δευρ' αφικανεις;
Δειδω μη δη μοι τελεση επος οβριμος Ἕκτωρ,
Ὡς ποτ' επηπειλησεν ενι Τρωεσσ' αγορευων,
Μη πριν παρ νηων προτι Ϝιλιον απονεεσθαι,
Πριν πυρι νηας ενιπρησαι, κτειναι δε και αυτους.
Κεινος θ' ὡς αγορευε· τα δη νυν παντα τελειται.
Ω ποποι, η ρα και αλλοι εϋκνημιδες Αχαιοι
Εν θυμῳ βαλλονται εμοι χολον, ὡς περ Αχιλλευς,
Ουδ' εθελουσι μαχεσθαι επι πρυμνησι νεεσσι.
Τον δ' ημειβετ' επειτα Γερηνιος ἱπποτα Νεστωρ·
Η δη ταυτα γ' ἑτοιμα τετευχαται, ουδε κεν αλλως
Ζευς ὑψιβρεμετης αυτος παρατεκτηναιτο.
Τειχος μεν γαρ δη κατερηριπεν, ᾧ επεπιθμεν,
Αρρηκτον νηων τε και αυτων ειλαρ εσεσθαι·
Οἱ δ' επι νηυσι θοησι μαχην αλιαστον εχουσι
Νωλεμες· ουδε κ' ετι γνοιης, μαλα περ σκοπιαζων,
Ὁπποτερωθεν Αχαιοι ορινομενοι κλονεονται·
Ὡς επιμιξ κτεινονται, αϋτη δ' ουρανον ἱκει.

---

36. Ηϊονος στομα μακρον. Littoris os magnum, quantum continebant promontoria: Tumuli Achillis et Ajacis adhuc ad Hellespontum conspiciuntur; duo circiter millia inter se distant. Littus interjacens humile et arenosum est, et navibus in terram trahendis aptissimum. Mille naves quinque millia passuum occuparent, ideoque saltem tres ordines essent. Castrorum latitudo haud quingentis passibus minor esset.

37. Τῳ ῥ' οἳγ', οψ' αἴοντες. Quare illi, serò audientes clamorem et bellum: nempe quia hucusque longinqui erant; Ξ. 30. Vulgò, οψεσοντες, videre cupientes: sed nec verbum, nec forma est Homerica. Ptolemæus, ου ψαυοντες, voluit, quod Eustathius jure improbat. Knightius hujus verbi causâ duodecim versus a 29 ad 40 damnat.

40. πτηξε δε θυμος. concidit verò animus: nempe Græcorum omnium. Ita bene Ernestius; vulgò, πτηξε δε θυμον· sed πτησσω sensum activum non habet. Alii, πτηξε δε θυμοι, alii versum damnant.

48. Κεινος θ' ὡς αγορευε. Isque ita dixit: Alii, τως· Β. 330.

53. ουδε κεν αλλως. neque tum aliter: Ipse enim Deus præterita mutare nequit.

Ἡμεις δε φραζωμεθ', ὁπως εσται ταδε ϝεργα,
Ει τι νοος ϝρεξει· πολεμον δ' ουκ αμμε κελευω
Δυμεναι· ου γαρ πως βεβλημενον εστι μαχεσθαι.
Τον δ' αυτε προσεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
Νεστορ, επει δη νηυσιν επι πρυμνησι μαχονται,
Τειχος δ' ουκ εχραισμε τετυγμενον, ουδε τι ταϕρος,
Ἡι επι πολλ' επαθον Δαναοι, ϝελποντο δε θυμῳ
Αϝρηκτον νηων τε και αυτων ειλαρ εσεσθαι·
Ουτω που Διϊ μελλει ὑπερμενεϊ φιλον ειναι,
Νωνυμους απολεσθαι απ' Αργεος ενθαδ' Αχαιους.
Ϝοιδεα μεν γαρ, ὁτε προϕρων Δαναοισιν αμυνεν·
Ϝοιδα δε νυν, ὁτε τους μεν ὁμως μακαρεσσι Θεοισι
Κυδανει, ἡμετερον δε μενος και χειρας εδησεν.
Αλλ' αγεθ', ὡς αρ εγω ϝειπω, πειθωμεθα παντες·
Νηας, ὁσαι πρωται ερυαται αγχι θαλασσης,
Ἑλκωμεν, πασας δε ϝερυσσομεν εις ἁλα διαν·
Ὑψι δ' επ' ευναων ὁρμισσομεν, εισοκεν ελθῃ
Νυξ αβροτη, ει και τῃ αποσχωνται πολεμοιο
Τρωες, επειτα δε κεν ϝερυσαιμεθα νηας ἁπασας·
Ου γαρ τις νεμεσις ϕυγεειν κακον, ουδ' ανα νυκτα.
Βελτερον, ὁς ϕευγων προϕυγῃ κακον, ηε ϝαλωῃ.
Τον δ' αρ ὑποδρα ϝιδων προσεϕη πολυμητις Οδυσσευς·
Ατρεϊδη, ποιον σε ϝεπος ϕυγεν ἑρκος οδοντων;
Ουλομεν', αιθ' ωϕελλες αϝεικελιου στρατου αλλου
Σημαινειν, μηδ' αμμι ϝανασσεμεν· οἱσιν αρα Ζευς
Εκ νεοτητος εδωκε και ες ϝηρας τολυπευειν
Αργαλεους πολεμους, ὁϝρα ϕθιομεσθα ϝεκαστος.
Ουτω δη μεμονας Τρωων πολιν ευρυαγυιαν

---

72. ὁτε. quòd: Ita Aristarchus, et MSS. nonnulli, et ita in versu antecedente; alii, ὁτι· vide A. 56, 244.

78. ει και τῃ. si etiam hâc: Vulgò, ην και τῃ· vide A. 166.

80. Ου γαρ τις νεμεσις. Neque enim aliqua indignatio: Iterum Agamemnon eos fugere suadet; non enim τλημων, aut πολυμητις, erat. Dolet etiam tot reges populosque ob privatam injuriam perire.

81. ὁς ϕευγων προϕυγῃ κακον, ηε ϝαλωῃ. qui fugiens evitet malum, priusquam capiatur: Ita MSS. et Edd. Vett. alii malè, ηπερ ἁλωῃ.

Καλλειψειν, ἡς εἵνεκ' οἰζυομεν κακα πολλα;
Σιγα, μη τις τ' αλλος Αχαιων τουτον ακουσῃ
Μυθον, ὃν ου κεν ανηρ γε δια στομα παμπαν αγοιτο,
Ὅστις επισταιτο ἡῃσι φρεσιν αρτια βαζειν,
Σκηπτουχος τ' ειη, και οι πειθοιατο λαοι
Τοσσοιδ', ὁσσοισιν συ μετ' Αργειοισι ϝανασσεις.
Νυν δε σευ ωνοσαμην παγχυ φρενας, οἷον εϝειπες·
Ὅς κελεαι, πολεμοιο συνεσταοτος και αὐτης,
Νηας εὐϝσελμους ἁλαδ' ἑλκεμεν, ὁϝρ' ετι μαλλον
Τρωσι μεν ευκτα γενηται, επικρατεουσι περ εμπης,
Ἡμιν δ' αιπυς ολεθρος επιϝρεπῃ· ου γαρ Αχαιοι
Σχησουσιν πολεμον, νηων ἁλαδ' ἑλκομεναων,
Αλλ' αποπαπτανεουσι, ϝερωησουσι δε χαρμης.
Ενθα κε σῃ βουλῃ δηλησεται, ορχαμε λαων.
Τον δ' ημειβετ' επειτα ϝαναξ ανδρων Αγαμεμνων·
Ω Οδυσευ, μαλα πως με καθικεο θυμον ενιπῃ
Αργαλεῃ· αϝαρ ου μεν εγων αϝεκοντας ανωγα
Νηας εὐϝσελμους ἁλαδ' ἑλκεμεν υἷας Αχαιων·
Νυν δ' ειη, ὁς τησδε γ' αμεινονα μητιν ενισποι,
Ἠ νεος, ηε παλαιος· εμοι δε κε ϝασμενῳ ειη.
Τοισι δε και μετεϝειπε βοην αγαθος Διομηδης·
Εγγυς ανηρ, ου δηθα ματευσομεν, αι κ' εθελητε
Πειθεσθαι· και μη τι κοτῳ αγασησθε ϝεκαστος,
Οὑνεκα δῃ γενεηφι νεωτατος ειμι μεθ' ὑμιν·
Πατρος δ' εξ αγαθου και εγω γενος ευχομαι ειναι
Τυδεος, ὁν Θηβῃσι χυτη κατα γαια καλυψε.
Πορθεϊ γαρ τρεις παιδες αμυμονες εξεγενοντο,
Ϝοικεον δ' εν Πλευρωνι, και αιπεινῃ Καλυδωνι,

---

82. πολυμητις Οδυσσευς. Jam Ulysses, ætate et consiliis gravior, Agamemnonem increpat; antea Diomedes; I. 31.

87. ὁϝρα φθιομεσθα ϝεκαστος. donec perimus unusquisque: A. 82.

98. Τρωσι μεν ευκτα γενηται. Trojanis quidem gloriata eveniant: Alii, optata.

101. αποπαπτανεουσι. respicient: a παπταινω, Δ. 200. Ita Bentleius ex Hesychio, et MSS. nonnullis: alii, αποπτανεουσι.

108. ϝασμενῳ. lætato: a ϝανδανω, A. 24. Iterum occurrit, Υ. 350.

Αγριος, ηδε Μελας, τριτατος δ' ην ἱπποτα Ϝοινευς,
Πατρος εμειο πατηρ· αρετῃ δ' ην εξοχος αυτων.
Αλλ' ὁ μεν αυτοθι μεινε, πατηρ δ' εμος Αργεϊ νασθη,
Πλαγχθεις· ὡς γαρ που Ζευς ηθελε και Θεοι αλλοι.
Αδρηστοιο δ' εγημε θυγατρων, ναιε δε δωμα
Αφνειον βιοτοιο, ϝαλις δε ϝοι ησαν αρουραι
Πυροφοροι, πολλοι δε φυτων εσαν ορχατοι αμφις·
Πολλα δε ϝοι προβατ' εσκε, κεκαστο δε παντας Αχαιους
Εγχειῃ· τα δε μελλετ' ακουεμεν, ὡς ετεον περ.
Τῳ ου κεν με γενος γε κακον και αναλκιδα φαντες,
Μυθον ατιμησητε πεφασμενον, ὁν κ' εϋ ϝειπω.
Δευτ' ιομεν πολεμονδε, και ουταμενοι περ, αναγκῃ·
Ενθα δ' επειτ' αυτοι μεν εχωμεθα δηϊοτητος
Εκ βελεων, μη που τις εφ' ἑλκεϊν ἑλκος αρηται·
Αλλους δ' οτρυνοντες ενησομεν, οἱ το παρος περ,
Θυμῳ επ' ηρα φεροντες, αφεστᾶσ', ουδε μαχονται.
Ὡς εφαθ'· οἱ δ' αρα του μαλα μεν κλυον, ηδ' επιθοντο·
Βαν δ' ιμεν, ηρχε δ' αρα σφι ϝαναξ ανδρων Αγαμεμνων.
Ουδ' αλαοσκοπιην ειχε κλυτος Εννοσιγαιος,
Αλλα μετ' αυτους ηλθε, παλαιῳ φωτι ϝεοικως·
Δεξιτερην δ' εϝλε χειρ' Αγαμεμνονος Ατρειδαο,
Και μιν φωνησας ϝεπεα πτεροεντα προσηυδα·
Ατρειδη, νυν δη που Αχιλληος ολοον κηρ

---

119. ναθη. habitare factus est: verbum domûs mutationem indicat.

121. θυγατρων. unam ex Adrasti filiabus: Adrastus filium non habuit.

123. ορχατοι. series, ordines: Hesychius, Scholiastes.

126. Τῳ ου κεν' Quare non tum: Forsitan, Τῳ κεν μη· vide B. 250. MSS. septem, ατιμησαιτε.

129. αυτοι μεν εχωμεθα. ipsi quidem hæreamus pugnæ Extra tela: ita, χερσιν αωτου Νωλεμεως εχομην, Od. ι. 437. Forsitan tamen, αυτοι ϝρ' απεχωμεθα, nos sanè abstineamus, legendum; Ξ. 206, Od. μ. 321.

131. οτρυνοντες. incitantes: ita MSS. Alii malè, οτρυνεοντες.

132. Θυμῳ επ' ηρα φεροντες. Animum versus grata ferentes: Vulgò επι omittitur; quod cùm in hoc uno loco fiat, metro etiam suadente, inserui; vide A. 578.

140. Γηθει ενι στηθεσσι. Lætabatur in pectoribus: pro εγηθεε. Homerus passim imperfecto utitur ad rem indicandam, cujus initium præteritum sit, licèt effectus maneat. Ita, καθικεο, Ξ. 104. Alii, Γηθεῖ.

141. Δερκομενῳ. Videnti: Alii, Δερκομενου.

Γηθει ενι στηθεσσι, φονον και φυζαν Αχαιων
Δερκομενῳ· επει ου ϝοι ενι φρενες ουδ' ηβαιαι·
Αλλ' ὁ μεν ὡς απολοιτο, Θεος δε ϝε σιφλωσειε.
Σοι δ' ουπω μαλα παγχυ Θεοι μακαρες κοτεουσιν·
Αλλ' ετι που Τρωων ἡγητορες ηδε μεδοντες
Ευρυ κονισουσιν πεδιον· συ δ' εποψεαι αυτους
Φευγοντας προτι ϝαστυ, νεων απο και κλισιαων.
Ὡς ϝειπων, ϝμεγ' αὔσεν, επεϝσυμενος πεδιοιο·
Ὁσσον τ' εννεαχιλοι επιαχον, η δεκαχιλοι
Ανερες εν πολεμῳ, εριδα ξυναγοντες Αρηος·
Τοσσην εκ στηθεσφι ϝοπα κρειων Ενοσιχθων
Ἡκεν· Αχαιοισιν δε ϝμεγα σθενος εμβαλ' ἁπασι
Καρδιῃ, αϝληκτον πολεμιζειν ηδε μαχεσθαι.
Ἡρη δ' εισειδε χρυσοθρονος οφθαλμοισι,
Στασ', εξ Ουλυμπου ακρου ϝριου· αυτικα δ' εγνω
Τον μεν ποιπνυοντα μαχην ανα κυδιανειραν
Αυτοκασιγνητον και δαερα, χαιρε δε θυμῳ·
Ζηνα δ' επ' ακροτατης κορυφης πολυπιδακος Ιδης
Ἡμενον εισειδε· στυγερος δε ϝοι επλετο θυμῳ.
Μερμηριξε δ' επειτα βοωπις ποτνια Ἡρη,
Ὁππως εξαπαφοιτο Διος νοον αιγιοχοιο·
Ἡδε δε ϝοι κατα θυμον αριστη ϕαινετο βουλη,
Ελθειν εις Ιδην, ευ εντυνασαν εϝ' αυτην,

---

142. Θεος δε ϝε σιφλωσειε. Deus verò eum ludibrio faciat: αϕανισειε, μωμησειε, Hesychius; επιϝογον ποιησειε, Scholiastes. Vox non alibi occurrit. Forsitan, αϝιστωσειε, ut Od. υ. 79, et vide Ξ. 258.

145. κονισουσιν. pulvere conspergent: Ita, εκονισε δε χαιτας, Φ. 407. Hesychius hanc lectionem præbet; alii, κονισσουσιν· sed κονιω penultimam producit, N. 820.

151. εμβαλ' ἁπασι. injecit omnibus: Vulgò, ἑκαστῳ· vide Λ. 11.

153. εισειδε. aspexit: Vulgò, εισειδε, hìc et 158.

154. εξ Ουλυμπου ακρου ϝριου. ex Olympi summo cacumine: Ita, ακρῳ Ολυμπῳ, N. 523, et, ϝριον Ουλυμποιο, Ξ. 225. Vulgò, εξ Ουλυμποιο απο ϝιου· quod in metrum peccat, et απο vacat. Bentleius et Knightius versum damnant.

162. ευ εντυνασαν εϝ' αυτην. bene parantem se ipsam: Vulgò, ἑαυτην· Knightius ἑϝ' αυτην edidit; Bentleius, ευ εντυνασα ϝε αυτην· εϝε bis iterum occurrit, Υ. 171, Ω. 134. Forsitan, ευ ϝ' αὐτην εντυνασαν.

Ει πως ἱμειραιτο παραδραθεειν φιλοτητι
Fῳ χροοθιν· τῳ δ' ὑπνον απημονα τε χλιαρον τε
Χευη επι βλεφαροισιν, ιδε φρεσι πευκαλιμῃσι.
Βη δ' ιμεν ες θαλαμον, τον οι φιλος υἱος ετευξεν
Ἡφαιστος, πυκινας δε θυρας σταθμοισιν επηρσε
Κληϊδι κρυπτῃ· τον δ' ου Θεος αλλος οϊγεν.
Ενθ' ἡγ' εισελθουσα, θυρας επεθηκε φαεινας·
Αμβροσιῃ μεν πρωτον απο χροος ἱμεροεντος
Λυματα παντα καθηρεν, αλειψατο δε γλιπ' ελαιῳ,
Αμβροσιῳ, εδανῳ, το ῥα οι τεθυωμενον ηεν·
Του και κινυμενοιο Διος προτι χαλκοβατες δω,
Εμπης ες γαιαν τε και ουρανον ἱκετ' αϋτμη.
Τῳ ῥ' ἡγε χροα καλον αλειψαμενη, ιδε χαιτας
Πεξαμενη, χερσι πλοκαμους επλεξε φαεινους,
Καλους, αμβροσιους, εκ κραατος αθανατοιο.
Αμφι δ' αρ αμβροσιον ϝεανον ϝεσαθ', ὁν οι Αθηνη
Εξυσ' ασκησασα, τιθει δ' ενι δαιδαλα πολλα·
Χρυσειῃς δ' ενετῃσι κατα στηθος περονᾶτο.
Ζωσατο δε ζωνην, ἑκατον θυσανοις αραρυιαν·
Εν δε ῥ' ἑρματα θηκεν εϋτρητοισι λοβοισι,
Τριγλην', ἱμεροεντα· χαρις δ' απελαμπετο πολλη.

---

163. παραδραθεειν. juxta dormire: Verbum bis in Odysseâ occurrit.

164. Fῳ χροοθιν. Ejus cuti: Ita, κηροθι, I. 300. Vulgò, Ἠι χροιῃ· sed χροια vox nihili est, nec alibi occurrit. Hinc etiam constat χλιαρον a duabus consonantibus incipere: vulgò, λιαρον, contra metrum; vide Λ. 477.

167. σταθμοισιν επηρσε. postibus adaptavit: ab αρω.

168. τον δ' ου Θεος αλλος οϊγεν. eum verò non Deus alius aperiebat: Vulgò, ανοιγεν· sed οϊγω rarò, si unquam, contrahitur; z. 89.

172. Αμβροσιῳ, εδανῳ. Immortali, bene olenti: Hesychius, Εδανον, ευωδες, et, Ιδανον, ἡδυσμον, habet; videtur ab eodem fonte ac οζω, et οδμη, fluere. Malè Heynius εανῳ proposuit, cùm penultimam producat. Potuit, Αμβροτῳ, ευωδει, scripsisse, ut Od. θ. 365, β. 339. Vox non alibi occurrit.

177. εκ κραατος αθανατοιο. ex capite immortali: Hæc forma non alibi occurrit, nisi T. 93; unde Heynius et Knightius versum damnant; cùm tamen καρηατος, καρητος, et κρατος legantur, non video quare non et κραατος, aut saltem, εξ αθανατοιο καρητος.

179. Εξυσ' ασκησασα. Polivit laborans: a ξυω. Iterum in Odysseâ legitur.

180. ενετῃσι. fibulis: Vox non alibi occurrit.

Κρηδεμνῳ δ' εφυπερθε καλυψατο δῖα Θεαων,
Καλῳ, νηγατεῳ· λευκον δ' ην, Ηελιος ὡς·
Ποσσι δ' ὑπο γλιπαροισιν εδησατο καλα πεδιλα.
Αυταρ επει δη παντα περι χροϊ θηκατο κοσμον,
Βη ῥ' ιμεν εκ θαλαμοιο· καλεσσαμενη δ' Αφροδιτην,
Των αλλων απανευθε Θεων, προς μυθον εειπεν·
Η ῥα νυ μοι τι πιθοιο, φιλον τεκος, ὅ ῥα κε ῥειπω;
Ηε κεν αρνησαιο, κοτεσσαμενη τογε θυμῳ,
Οὕνεκ' εγω Δαναοισι, συ δε Τρωεσσιν αρηγεις;
Την δ' ημειβετ' επειτα Διος θυγατηρ Αφροδιτη·
Ἥρη, πρεσβα Θεα, θυγατερ μεγαλοιο Κρονοιο,
Αυδα, ὁτι φρονεεις· τελεσαι δε με θυμος ανωγεν,
Ει δυναμαι τελεσαι γε, και ει τετελεσμενον εστι.
Την δε δολοφρονεουσα προσηυδα ποτνια Ἥρη·
Δος νυν μοι φιλοτητα και ἱμερον, ᾧ τε συ παντας
Δαμνης αθανατους, ηδε θνητους ανθρωπους·
Ειμι γαρ οψομενη πολυφορβου πειρατα γαιης,
Ωκεανον τε Ῥοων γενεσιν, και μητερα Τηθυν,
Οἵ μ' εν σφοισι δομοισιν εὖ τρεφον ηδ' ατιταλλον,
Δεξαμενοι Ῥειης, ὅτε κε Κρονον ευρυοπα Ζευς
Γαιης νερθε καθεισε και ατρυγετοιο θαλασσης.

---

182. Εν δε ῥ' ἐρματα θηκεν. In verò sanè inaures posuit bene perforatis auriculis: Vulgò, Εν δ' αρα ἐρματα ἑκεν, duplici hiatu. Malè Heynius, Εν δε τ' αρ' ἐρματ' εηκεν· Homerus enim præpositionem non duplicat.

183. Τριγλην', ἱμεροεντα. Valde pretiosas, desiderandas: a γλητος, res pretiosa, Ω. 192; alii, tribus lapidibus ornatas: Vulgò, Τριγληνα, μοροεντα· alii, Τριγλην', αμοροεντα. Hesychius μοροεντα, multo labore factas, explicat; sed vox non alibi occurrit; nec μορος hunc sensum apud Homerum obtinet; emendationem igitur facilem admisi.

195. Αυδα, ὁτι φρονεεις. Die, quodcunque censes: Forsitan, Ῥειφ', ὅ ῥα φρονεεις.

tuus, o regina, quid optes
Explorare labor; mihi jussa capessere fas est. Æn. i. 76.

196. και ει τετελεσμενον εστι. et si faciendum sit: id est, si tale sit, ut perfici possit. Participium pro gerundio. Knightius versum damnat.

199. Δαμνης. Domas: a δαμνημι, E. 893. Vulgò, Δαμνᾷ, pro δαμνασαι.

201. Ῥοων γενεσιν. Fluviorum originem: Ξ. 245, Φ. 196. Vulgò, Θεων· sed Oceanus Deorum pater non erat.

203. Ῥειης. Rheâ: Vulgò, Ῥειης· sed analogia digamma postulat. Teutones Deam Freiam habebant; unde apud nostrates diei sexti nomen. Iterum memoratur, o. 187.

Τους ειμ' οψομενη, σφιν τ' ακριτα νεικεα λυσω·
Ηδη γαρ δηρον χρονον αλληλων απεχονται
Ευνης και φιλοτητος, επει χολος εμπεσε θυμῳ.
Ει κεινω γε, πεπεσσι παραιπεπιθουσα φιλον κῆρ,
Εις ευνην ανεσαιμι παραδραθεειν φιλοτητι,
Αιει κε σφι φιλη τε και αιδοιη καλεοιμην.

Την δ' αυτε προσεφειπε φιλομμειδης Αφροδιτη·
Ουκ εστ', ουδε φεποικε, τεον φεπος αρνησασθαι·
Ζηνος γαρ του αριστου εν αγκοινῃσιν ιαυεις.
Η, και απο στηθεσφιν ελυσατο κεστον ιμαντα,
Ποικιλον· ενθα δε οι θελκτηρια παντα τετυκτο·
Ενθ' ενι μεν φιλοτης, εν δ' ἱμερος, εν δ' οαριστυς,
Παρφασις, ἡ τ' εκλεψε νοον πυκα περ φρονεοντων.
Τον φεθιν εμβαλε χερσι, φεπος τ' εφατ', εκ τ' ονομαζε·
Τη νυν τουτον ιμαντα τεῳ εγκατθεο κολπῳ,
Ποικιλον, ᾧ ενι παντα τετευχαται· ουδε σε φημι
Απρηκτον γε νεεσθαι, ὅτι φρεσι σῃσι μενοινᾷς.
Ὡς φατο· μμειδησεν δε βοωπις ποτνια Ἡρη,
Μμειδησασα δ' επειτα φεῳ εγκατθετο κολπῳ.
Ἡ μεν εβη προς δωμα Διος θυγατηρ Αφροδιτη·
Ἡρη δ' αἰξασα λιπε φριον Ουλυμποιο,
Πιεριην δ' επιβασα, και Ημαθιην ερατεινην,
Φσευατ' εφ' ἱπποπολων Θραϊκων ορεα φνιφοεντα,

---

205. σφιν τ' ακριτα νεικεα λυσω. iisque innumeras lites solvam: sic, ανδρασι νεικεα λυει, Od. υ. 74. Vulgò, και σφ' ακριτα· sed Homerus vocum talium elisionem vitat. Ita, Ξ. 304. Vide Γ. 300.

209. Εις ευνην ανεσαιμι παραδραθεειν φιλοτητι. Ad lectum remitterem accumbere amicitiâ: Ita Ξ. 163; vulgò, ὁμωθηναι, quod pro ὁμοιωθηναι nullo modo dici potest, et in sensum æquè ac metrum peccat; verbum ὁμοω non extat. ανεσαιμι ab ανιημι derivatur. Potuit etiam, συναρθηναι, vel aliter, scripsisse.

213. Ζηνος γαρ του αριστου. Jovis enim optimi: Versus a veteribus damnabatur.

214. κεστον ιμαντα. acu pictum cingulum: Singulari artificio animi affectus balteo inesse fingit. Ιμας pectoribus suberat, ζωνη ventri.

218. Τον φεθιν. Hunc ei: Vulgò, Τον ῥα οἱ.

219. Τη νυν. Ibi nunc: quod in linguâ Latinâ vix dici potest, sed in linguis recentibus usitatum est. Grammatici quidem a verbo ταω, pre-

Ακροτατας κορυφας, ουδε χθονα μαρπτε ποδοιϊν.
Εξ Αθοω δ' επι ποντον εβησατο κυμαινοντα·
Λημνον δ' εισαφικανε, πολιν θειοιο Θοαντος,
Ενθ' Υπνῳ συμβλητο, κασιγνητῳ Θανατοιο,
Εν τ' αρα οι φυ χειρι, ϝεπος τ' εφατ', εκ τ' ονομαζεν·
Υπνε, ϝαναξ παντων τε Θεων, παντων τ' ανθρωπων,
Ει μεν δη ποτ' εμον ϝεπος εκλυες, ηδ' ετι και νυν
Πειθευ, εγω δε κε τοι ϝειδω χαριν ηματα παντα·
Κοιμησον μοι Ζηνος ὑπ' οφρυσιν οσσε φαεινω,
Αυτικ' επει κεν εγω παραλεξομαι εν φιλοτητι.
Δωρα δε τοι δωσω, καλον θρονον, αφθιτον αιει,
Χρυσεον· Ηφαιστος δε κ' εμος παϊς αμφιγυηεις
Τευξει ϝ' ασκησας, ὑπο δε θρηνυν ποσιν ἡσει,
Τῳ κεν επισχοιης ϝλιπαρους ποδας ειλαπιναζων.
Την δ' απαμειβομενος προσεφωνεε ϝηδυμος Υπνος·
Ηρη, πρεσβα Θεα, θυγατερ ϝμεγαλοιο Κρονοιο,
Αλλον μεν κεν εγωγε Θεων αιειγενεταων
Ϝρεια κατευνησαιμι, και ει ποταμοιο ϝρεεθρα
Ωκεανου, ὃς περ γενεσις παντεσσι τετυκται·
Ζηνος δ' ου κεν εγωγε Κρονιονος ασσον ἱκοιμην,
Ουδε κατευνησαιμ', ὁτε μη αυτος γε κελευοι.
Ηδη γαρ με και αλλο τεη επινυσσεν εφετμη,
Ηματι τῳ, ὁτε κεινος ὑπερθυμος Διος υἱος

---

hendo, deducunt; sed adverbium est, ut πη, et δευρο, nec post se nexum admittit, ut Clarkius monuit; vide Od. ε. 346, θ. 477, ι. 347, κ. 287.

223. ϝεῳ. suo: Alii, μεσῳ. A. 533.

229. Εξ Αθοω. pro Εξ Αθαου, quod legere mallem; Knightius, εκς αθαφοο. Mons notus est Macedoniæ, a Trojâ conspiciendus, licèt centum millium passuum intervallo distet.

231. κασιγνητῳ Θανατοιο. consanguineus Leti Sopor. Æn. vi. 278.

234. εμον ϝεπος. meum dictum: Ita MSS. et Edd. Alii, εμευ.

235. εγω δε κε τοι ϝειδω χαριν. ego verò tum tibi sciam gratiam: ita A. 515. MSS. ειδεω, et ιδεω habent. Sic, εγω δε κ' αγω, A. 184.

241. επισχοιης. sustineres: Optativus Ionicus.

245. και ει ποταμοιο ϝρεεθρα. et si fluvii flumina Oceani: eorum enim cursus sempiternus. Vulgò, και αν, sed loco non convenit; ϝειποις, aut tale quiddam, subauditur. παντεσσι, omnibus: id est, fluminibus.

249. αλλο τεη επινυσσεν εφετμη. Jam enim me et aliud tuum instruxit mandatum: Vide Ξ. 262. Verbum πινυω, vel πινυσσω non alibi occurrit; forsitan επενευσεν, vel επετειλεν legendum. Alii, αλλοτε ῥ' επινυσεν εφετμη.

Επλεε Γιλιοθεν, Τρωων πολιν εξαλαπαξας.
Ητοι εγω μεν ελεξα Διος νοον αιγιοχοιο
Γηδυμος αμφιχυθεις· συ δε γοι κακα μησαο θυμῳ,
Ορσασ' αργαλεων ανεμων επι ποντον αητας·
Και μιν επειτα Κοωνδ' ευ ναιομενην απενεικας,
Νοσφι φιλων παντων· ὁ δ' επεγρομενος χαλεπαινε,
Γριπταζων κατα δωμα Θεους· εμε δ' εξοχα παντων
Ζητει, και κε μ' αριστον απ' αιθερος εμβαλε ποντῳ,
Ει μη Νυξ δμητειρα Θεων εσαωσε και ανδρων,
Την ικομην φευγων· ὁ δ' επαυσατο, χωομενος περ·
Ἀζετο γαρ, μη Νυκτι θοῃ αποθυμια ῥερδοι.
Νυν αυ τουτο μ' ανωγας αμηχανον αλλο τελεσσαι.
Τον δ' αυτε προσεφειπε βοωπις ποτνια Ἡρη·
Ὑπνε, τιη δε συ ταυτα μετα φρεσι σῃσι μενοινᾷς;
Η φης ὡς Τρωεσσιν αρηγεμεν ευρυοπα Ζευν,
Ὡς Ἡρακλεος περι χωσατο, παιδος εροιο;
Αλλ' ιθ', εγω δε κε τοι Χαριτων μιαν ὁπλοτεραων
Δωσω οπυιεμεναι, και σην κεκλησθαι ακοιτιν,
Πασιθεην, ἡς αιεν εφελδεαι ηματα παντα.
Ὡς φατο· χηρατο δ' Ὑπνος, αμειβομενος δε προσηυδα·
Αγρει νυν μοι ομοσσον επ' αᾱτον Στυγος ὑδωρ,

---

252. ελεξα. cubare feci: Ita Ed. Pr. et MSS. Aldus εθελξα induxit.

258. αριστον. ignotum, perditum: a ῥιστημι.

261. αποθυμια ῥερδοι. ingrata faceret: Si digamma non habuisset, facilè ῥεξοι scripsisse potuit. A. 315.

267. εγω δε κε τοι Χαριτων μιαν.

Sunt mihi bis septem præstanti corpore Nymphæ,
Quarum, quæ formâ pulcherrima, Deiopeiam
Connubio jungam stabili, propriamque dicabo;
Omnes ut tecum meritis pro talibus annos
Exigat, et pulchrâ faciat te prole parentem. Æn. i. 71.

269. Πασιθεην. Pasitheam, quam semper optas dies omnes: Heynius versum damnat; abest quidem a codicibus multis, et in cæteris ἱμείρεαι legitur, contra metrum; Barnesius εελδεαι emendavit.

270. χηρατο δ' Ὑπνος. gavisus verò est Somnus: Forma non alibi occurrit; Bentleius igitur, χαιρε δ' αρ Ὑπνος, proposuit.

271. μοι ομοσσον επ' αᾱτον Στυγος ὑδωρ. mihi adjura inviolabilem Stygis aquam: id est, επομοσον. Vulgò præpositio omittitur; postulat tamen metrum. Syllaba prima in αᾱτος, ut in αθανατος et ακαματος, facilè producitur, et secunda et tertia naturâ breves sunt, ut in αᾱτη, ei

Χειρι δε τῃ ἑτερῃ μεν εγλε χθονα πουλυβοτειραν,
Τῃ δ' ἑτερῃ ἁλα μαρμαρεην· ἱνα νωϊν ἅπαντες
Μαρτυροι ωσ' οἱ ενερθε Θεοι Κρονον αμφις εοντες·
Η μεν εμοι δωσειν Χαριτων μιαν ὁπλοτεραων,
Πασιθεην, ἡς τ' αυτος εγελδομαι ηματα παντα.
Ὡς εφατ'· ουδ' απιθησε Θεα λευκωλενος Ἡρη,
Ωμνυε δ', ὡς εκελευε, Θεους δ' ονομηνεν ἅπαντας
Τους ὑποταρταριους, οἱ Τιτηνες καλεονται.
Αυταρ επει ῥ' ομοσεν τε, τελευτησεν τε τον ὁρκον,
Τω βητην, Λημνου τε και Ιμβρου ϝαστυ λιποντε,
Ηερα ϝεσσαμενω, ϝριμφα πρησσοντε κελευθον·
Ιδην δ' ἱκεσθην πολυπιδακα, μητερα θηρων,
Λεκτον· ὁθι πρωτον λιπετην ἁλα· τω δ' επι χερσου
Βητην· ακροτατη δ' εϝσειετο ποσσιν ὑφ' ὑλη.
Ενθ' Ὑπνος μεν εμεινε, παρος Διος οσσε ϝιδεσθαι,
Εις ελατην αναβας περιμηκετον, ἡ τοτ' εν Ιδῃ
Μακροτατη πεφυυια δι' ηερος αιθερ' ἱκανεν·
Ενθ' ἡστ' οζοισιν πεπυκασμενος ειλατινοισιν,
Ορνιθι ϝλιγυρῃ εναλιγκιος, ἡν τ' εν ορεσσι
Χαλκιδα κικλησκουσι Θεοι, ανδρες δε Κυμινδιν.
Ἡρη δε κραιπνως προσεβησατο Γαργαρον ακρον

αϝαω. Vox quidem bis in Odysseâ, sed alio sensu, legitur, primâ et tertiâ correptis, secundâ productâ; φ. 91, χ. 5. επομαω passim occurrit, A. 233, ι. 132, 274, Ψ. 42.

276. Πασιθεην. Heynius hunc etiam versum suspectum habet, et Knightius damnat.

279. καλεονται. Eustathius versum post hunc memorat;

Ομνυε δ' εκ πετρυφι κατειβομενον Στυγος ὑδωρ.

284. Λεκτον. Lectum: Montis Idæ ad Ægæum mare promontorium erat.

285. ακροτατη δ' εϝσειετο ποσσιν ὑφ' ὑλη. summa verò quatiebatur sub pedibus sylva: Vulgò, ακροτατη δε ποδων ὑπεσειετο ὑλη· ubi duplex error; ϝσειω enim augmentum semper producit, et hiatus non licet; A. 33, Υ. 59. ποσσιν etiam meliùs quam ποδων dicitur; N. 18.

290. Ορνιθι ϝλιγυρῃ εναλιγκιος.

Alitis in parvæ subitò collecta figuram. Æn. xii. 862.

291. Χαλκιδα. Aristoteles hunc avem ab Ionibus Cymindin suo tempore vocari testatur. Hist. An. 9. 12. Dicitur accipiter nocturnus fuisse nigro colore. Plinius.

Ιδης ὑψηλης· ϝιδε δε ϝνεφεληγερετα Ζευς.
Ὡς δ' εϝιδ', ὡς μιν ερος πυκινας φρενας αμφεκαλυψεν,
Οἷον ὁτε πρωτιστον εμισγεσθην φιλοτητι,
Εις ευνην ϝοιτῶντε, φιλους ληθοντε τοκηας·
Στη δ' αυτης προπαροιθε, ϝεπος τ' εφατ', εκ τ' ονομαζεν·
Ἥρη, πη μεμαυια κατ' Ουλυμπου τοδ' ἱκανεις;
Ἵπποι δ' ου παρεασι και ἅρματα, των κ' επιβαιης.
Τον δε δολοφρονεουσα προσηυδα ποτνια Ἥρη·
Ερχομαι οψομενη πολυφορβου πειρατα γαιης,
Ωκεανον τε, ϝροων γενεσιν, και μητερα Τηθυν,
Οἵ μ' εν σφοισι δομοισιν εϋ τρεφον ηδ' ατιταλλον·
Τους ειμ' οψομενη, σφιν τ' ακριτα νεικεα λυσω.
Ηδη γαρ δηρον χρονον αλληλων απεχονται
Ευνης και φιλοτητος· επει χολος εμπεσε θυμῳ.
Ἵπποι δ' εν πρυμνωρειῃ πολυπιδακος Ιδης
Ἑστᾶσ', οἵ μ' οισουσιν επι τραφερην τε και ὑγρην.
Νυν δε σευ εἱνεκα δευρο κατ' Ουλυμπου τοδ' ἱκανω,
Μη πως μοι μετεπειτα χολῶσεαι, αι κε σιωπῃ
Οιχωμαι προς δωμα βαθυῤῥοου Ωκεανοιο.
Την δ' απαμειβομενος προσεφη ϝνεφεληγερετα Ζευς·
Ἥρη, κεισε μεν εστι και ὑστερον ὁρμηθηναι,
Νωϊ δ', αγ', εν φιλοτητι τραπειομεν ευνηθεντε·
Ου γαρ πωποτε μ' ὡδε Θεας ερος, ουδε γυναικος,
Θυμον ενι στηθεσσι περιπροχυθεις εδαμασσεν,
Ουδ' ὁποτ' ηρασαμην Ἰξιονης αλοχοιο,
Ἣ τεκε Πειριθοον, Θεοθιν μηστωρ' αταλαντον·
Ουδ' ὁτε περ Δαναης καλλισφυρου Ακρισιωνης,
Ἣ τεκε Περσηα, παντων αριδεικετον ανδρων·

---

294. Ὡς δ' εϝιδ', ὡς μιν ερος. Ut verò vidit, ita eum amor: Vulgò, Ὡς δ' ιδεν, ὡς μιν ερως· Ξ. 315, Γ. 442. Sic, Ὡς ιδον, ὡς εμαπην· Theocrit. et, Ut vidi, ut perii! Eclog. viii. 41, et vide Æn. viii. 390.

304. Τους. Knightius tres versus ab antiquis notatos omittit.

308. επι τραφερην τε και ὑγρην. super terramque et mare: omnia enim nutrit terra.

317. Ουδ' ὁποτ' ηρασαμην. Nec quandc dilexi: ab ερασμαι. Heynius et Knightius cum antiquis nonnullis undecim versus damnant.

Ουδ' ὁτε Φοινικος κουρης τηλεκλειτοιο,
Ἣ τεκε μοι Μινωα και αντιθεον Ϝραδαμανθυν·
Ουδ' ὁτε περ Σεμελης, ουδ' Αλκμηνης ενι Θηβῃ,
Ἣ ῥ' Ἡρακλεεα κρατεροφρονα γεινατο παιδα·
Ἣ δε Διωνυσον Σεμελη τεκε, χαρμα βροτοισιν·
Ουδ' ὁτε Δημητρος, καλλιπλοκαμοιο ϝανασσης·
Ουδ' ὁποτε Λητους ερικυδεος, ουδε σευ αυτης·
Ὡς σεο νυν εραμαι, και με γλυκυς ἱμερος αἱρεῖ.
Τον δε δολοφρονεουσα προσηυδα ποτνιας Ἡρη·
Αινοτατε Κρονιδη, ποιον τον μυθον εϝειπες;
Ει νυν εν φιλοτητι λιλαιεαι ευνηθηναι
Ιδης εν κορυφῃσι, τα δε προπεφανται ἁπαντα,
Πως κ' εοι, ει τις νωϊ Θεων αιειγενεταων
Εὐδοντ' αθρησειε, Θεοισι δε πασι μετελθων
Πεφραδοι; ου κεν εγωγε τεον προς δωμα νεοιμην,
Εξ ευνης ανστασα· νεμεσσητον δε κεν ειη.
Αλλ' ει δη ῥ' εθελεις, και τοι φιλον επλετο θυμῳ,
Εστιν τοι θαλαμος, τον τοι φιλος υἱος ετευξεν
Ἡφαιστος, πυκινας δε θυρας σταθμοισιν επηρσεν·
Ενθ' ιομεν κειοντες, επει νυ τοι ευϝαδεν ευνη.
Την δ' απαμειβομενος προσεφη ϝνεφεληγερετα Ζευς·
Ἡρη, μητε Θεων τογε δειδιθι, μητε τιν' ανδρων
Ὀψεσθαι· τοιον τοι εγω ϝνεφος αμφικαλυψω,
Χρυσεον· ουδε κε νωϊ διαδρακοι Ηελιος περ,
Οὐ τε και οξυτατον πελεται φαος εισοραασθαι.
Ἡ ϝρα, και αγκας εμαρπτε Κρονου παις ϝην παρακοιτιν·
Τοισι δ' ὑπο Χθων δῖα φυεν νεοθηλεα ποιην,
Λωτον εερσηεντ', ηδε κροκον, ηδ' ὑακινθον

---

322. Μινωα. Alii, Μινω τε· sed ita contrahi nequit.
340. ευϝαδεν. bene placuit: ab ευ, et ϝανδανω.
347. Τοισι δ' ὑπο Χθων δῖα. Imitatus est Miltonus, iv. 670, viii. 513.

Vere tument terræ, et genitalia semina poscunt.
Tum Pater omnipotens fœcundis imbribus Æther
Conjugis in gremium lætæ descendit, et omnes
Magnus alit, magno commixtus corpore, fœtus. Georg. ii. 324.

348. Λωτον εερσηεντ', ηδε κροκον· Lotum roscidam, et crocum: Vulgò,

Πυκνον και μαλακον, ὁς απο χθονος ὑψοσ' εεργε·
Τῳ ενι λεξασθην, επι δε ῥνεφελην εφεσαντο
Καλην, χρυσειην· στιλπναι δ' απεπιπτον εερσαι.
Ὡς ὁ μεν ατρεμας εὑδε πατηρ ανα Γαργαρῳ ακρῳ,
Ὑπνῳ και φιλοτητι δαμεις· εχε δ' αγκας ακοιτιν.
Βη δε θεειν επι νηας Αχαιων ῥηδυμος Ὑπνος,
Αγγελιην ῥερεων γαιηοχῳ Εννοσιγαιῳ·
Αγχοθι δ' ἱσταμενος ῥεπεα πτεροεντα προσηυδα·
Προφρων νυν Δαναοισι, Ποσειδαων, επαμυνε,
Και σφιν κυδος οπαζε, μινυνθα περ, ὁφρα κ' εθ' εὑδει
Ζευς· επει αυτῳ 'εγω μαλακον περι κωμα καλυψα·
Ἡρη δ' εν φιλοτητι παρηπαφεν ευνηθηναι.
Ὡς ῥειπων, ὁ μεν ὠχετ' επι κλυτα φυλ' ανθρωπων·
Τον δ' ετι μαλλον ανηκεν αμυνεμεναι Δαναοισιν.
Αυτικα δ' εν πρωτοισι μεγα προθορων εκελευσεν·
Αργειοι, και δ' αυτε μεθιεμεν Ἑκτορι νικην
Πριαμιδῃ, ἱνα νηας ερῃ, και κυδος αρηται;
Αλλ' ὁ μεν ὑτω φησι, και ευχεται, οὑνεκ' Αχιλλευς
Νηυσιν επι γλαφυρῃσι μενει κεχολωμενος ητορ·
Κεινου δ' ου λιην ποθη εσσεται, ει κεν οἱ αλλοι
Ἡμεις στρυνωμεθ' αμυνεμεν αλληλοισιν.
Αλλ' αγεθ', ὡς αρ εγω ῥειπω, πειθωμεθα παντες·
Ασπιδας, ὁσσαι αριστα ενι στρατῳ ηδε μεγιστα,
Ῥεσσαμενοι, κεφαλας δε παναιθῃσιν κορυθεσσι
Κρυψαντες, χερσιν τε τα μακροτατ' εγχε' εῤλοντες,
Ιομεν· αυταρ εγων ἡγησομαι, ουδε τι φημι
Ἑκτορα Πριαμιδην μενεειν, μαλα περ μεμαωτα.
Ὁς δε κ' ανηρ μενεχαρμος, εχει δ' ολιγον σακος ωμῳ,

Λωτον θ' ἑρσηεντα, ιδε κροκον· εερσηεις tamen ab εερσα ita contrahi nequit, quod miror etiam Knightium fugisse. Ξ. 351. Apoll. Λωτον ἑρσηεντα, ηδε κροκον.

350. εῤεσαντο. induti sunt: Vulgò, ἑσσαντο· vide Η. 207, Γ. 57.

358. ὁῤρα κ' εθ' εὑδει. dum adhuc dormit: Vulgò, οφρ' ετι εὑδει.

368. ου λιην. non valde: Vulgò, ουτι λιην· vide Ζ. 486.

376. Ὁς δε κ' ανηρ. Knightius duos versus damnat, ut et 391, 416, 417, 500.

Χειρονι φωτι δοτω, ὁ δ' εν ασπιδι μειζονι δυτω.
Ὡς εφαθ'· οἱ δ' αρα του μαλα μεν κλυον, ηδ' επιθοντο.
Τους δ' αυτοι βασιληες εκοσμεον, ουταμενοι περ,
Τυδεϊδης, Οδυσευς τε, και Ατρεϊδης Αγαμεμνων·
Οιχομενοι δ' επι παντας, Αρηϊα τευχε' αμειβον,
Εσθλα μεν εσθλος εδυνε, χερεια δε χειρονι δοσκεν.
Αυταρ επει ῥ' εφεσαντο περι χροϊ νωροπα χαλκον,
Βαν' ῥ' ιμεν· ηρχε δ' αρα σφι Ποσειδαων ενοσιχθων,
Δεινον αορ τανυηκες εχων εν χειρι παχειῃ,
Φεικελον αστεροπῃ· τῳ δ' ου θεμις εστι μιγηναι
Εν δαϊ λευγαλεῃ, αλλα δεος ισχανει ανδρας.
Τρωας δ' αυθ' ἑτερωθεν εκοσμεε φαιδιμος Ἑκτωρ.
Δη ῥα τοτ' αινοτατην εριδα πτολεμοιο τανυσσαν
Κυανοχαιτα Ποσειδαων και φαιδιμος Ἑκτωρ,
Ητοι ὁ μεν Τρωεσσιν, ὁ δ' Αργειοισιν αρηγων.
Εκλυσθη δε θαλασσα ποτι κλισιας τε νεας τε
Αργειων· οἱ δε ξυνισαν μεγαλῳ αλαλητῳ.
Ουτε θαλασσης κυμα τοσον βοαα προτι χερσον,
Ποντοθεν ορνυμενον πνοιῃ Βορεω αλεγεινῃ·
Ουτε πυρος τοσσος γε ποτι βρομος αιθομενοιο,
Ουρεος εν βησσῃς, ὁτε κ' ωρετο καιεμεν ὑλην·
Ουτ' ανεμος τοσσος γε ποτι δρυσιν ὑψικομοισιν
Ηπυει, ὁς τε μαλιστα μεγα βρεμεται χαλεπαινων·
Ὁσση αρα Τρωων και Αχαιων επλετο φωνη,
Δεινον αϋσαντων, ὁτ' επ' αλληλοισιν ορουσαν.
Αιαντος δε πρωτος ακοντισε φαιδιμος Ἑκτωρ
Εγχει, επει τετραπτο προς ιθυ οἱ, ουδ' αφαμαρτε,
Τῃ ῥα δυω τελαμωνε περι στηθεσσι τετασθην,

---

386. τῳ δ' ου θεμις.
Non ut tela tamen, non ut contenderet arcum. Æn. xii. 815.

394. Ουτε θαλασσης κυμα.
Frigidus ut quondam sylvis immurmurat Auster,
Ut mare solicitum stridet resonantibus undis,
Æstuat ut clausis rapidus fornacibus ignis. Georg. iv. 261.

Ητοι ὁ μεν σακεος, ὁ δε φασγανου αργυροηλου·
Τω οι ϝρυσασθην τερενα χροα· χωσατο δ' Ἕκτωρ,
Ὁϝρα ϝεθεν βελος ωκυ ϝετωσιον εκφυγε χειρος·
Αψ δ' ἑταϝρων ες ϝεθνος εχαζετο, κηρ' αλεεινων.
Τον μεν επειτ' απιοντα μεγας Τελαμωνιος Αιας
Χερμαδιῳ, τα ϝρα πολλα, θοαων εχματα νηων,
Παρ ποσι μαρναμενων εκυλινδετο, των ἐν αειρας,
Στηθος βεβληκει ὑπερ αντυγος, αγχοθι δειρης·
Στρομβον δ' ὡς, εϝσευε βαλων, περι δ' εδραμε παντη.
Ὡς δ' ὁθ' ὑπο ϝριπης πατρος Διος εξεριπῃ δρυς
Προϝριζος, δεινη δε θεειου γινεται οδμη
Εξ αυτης· τον δ' ου περ εχει θρασος, ὁς κε ϝιδηται
Εγγυς εων, χαλεπος δε Διος μεγαλοιο κεραυνος·
Ὡς επεσ' Ἕκτορος ωκα χαμαι μενος εν κονιηθι·
Χειρος δ' εκβαλεν εγχος, επ' αυτῳ δ' ασπις ανηϕθη,
Και κορυς, αμϕι δε οι βραχε τευχεα ποικιλα χαλκῳ.
Οἱ δε μεγ' ιαχεοντες επεδραμον υἱες Αχαιων,
Ϝελπομενοι ϝερυεσθαι, ακοντιζον δε θαμειας
Αιχμας· αλλ' ουτις εδυνησατο ποιμενα λαων
Ουτασαι, ουδε βαλειν· πριν γαρ περιβησαν αριστοι,
Πουλυδαμας τε, και Αινειας, και διος Αγηνωρ,
Σαρπηδων τ' αρχος Λυκιων, και Γλαυκος αμυμων·
Των δ' αλλων ϝεφιν ουτις ακηδεσεν, αλλα παροιθεν
Ασπιδας ευκυκλους σχεθον αυτου· τον δ' αρ ἑταϝροι
Χερσιν αειραντες ϝερον εκ πονου, ὁϝρ' ἱκεθ' ἱππους
Ωκεας, οἱ οι οπισθε μαχης ηδε πτολεμοιο
Ἑστασαν, ἡνιοχον τε και ἁρματα ποικιλ' εχοντες·
Οἱ τονγε προτι ϝαστυ ϝερον βαρεα στεναχοντα.
Αλλ' ὁτε δη πορον ἱξαν εὐρροϕιν ποταμοιο
Ξανθου δινηεντος, ὁν αθανατος τεκετο Ζευς,
Ενθα μιν εξ ἱππων πελασαν χθονι, καδδε οι ὑδωρ

---

407. Ὁϝρα ϝεθεν. Quòd ei: Vulgò, Ὁττι ῥα οἱ. Z. 177.
419. ανηϕθη. annectebatur: Vulgò, ἑαϕθη· vide N. 543.
427. ϝεφιν ουτις ακηδεσεν. eum nemo neglexit: Vulgò, ουτις εὐ. Alii, ακηδησ'· sed MSS. et Edd. ακηδεσεν habent, et sic ακηδεστως.

Χευαν· ὁ δ' αμπνυνθη, και ανεδρακεν οφθαλμοισιν·
Ἑζομενος δ' επι γουνα, κελαφνεφες αἷμ' απεμεσσεν·
Αυτις δ' εξοπισω πλητο χθονι, καδδε ϝοι οσσε
Νυξ εκαλυψε μελαινα· βελος δ' ετι θυμον εδαμνα.
Αργειοι δ', ὡς ουν ϝιδον Ἕκτορα νοσφι κιοντα,
Μαλλον επι Τρωεσσι θορον, μνησαντο δε χαρμης.
Ενθα πολυ πρωτιστος Οϊληος ταχυς Αιας
Σατνιον ουτασε δουρι μεταλμενος οξυοεντι,
Ϝηνοπιδην, ὃν αρα νυμφη τεκε Νηϊς αμυμων
Ϝηνοπι βουκολεοντι παρ' οχθας Σατνιοεντος.
Τον μεν Οϊλιαδης δουρικλυτος, εγγυθεν ελθων,
Ουτα κατα ϝλαπαρην· ὁ δ' ανετραπετ', αμφι δ' αρ αυτῳ
Τρωες και Δαναοι συναγον κρατερην ὑσμινην.
Τῳ δ' επι Πουλυδαμας εγχεσπαλος ηλθεν αμυντωρ
Πανθοϊδης· βαλε δε Προθοηνορα δεξιον ωμον,
Υἱον Αρηϊλυκοιο· δι' ωμου δ' οβριμον εγχος
Εσχεν· ὁ δ' εν κονιηθι πεσων ϝελε γαιαν αγοστῳ.
Πουλυδαμας δ' εκπαγλον επευξατο, μακρον αὔσας·
Ου μαν αυτ' οϊῳ ϝμεγαθυμου Πανθοϊδαο
Χειρος απο στιβαρης ἁλιον πηδησαι ακοντα,
Αλλα τις Αργειων κομισε χροϊ· και μιν οἴω
Αυτῳ σκηπτομενον κατιμεν δομον Αϊδος εισω.
Ὡς εφατ'· Αργειοισι δ' αχος γενετ' ευξαμενοιο·
Αιαντι δε μαλιστα δαϊφρονι θυμον ορινε
Τῳ Τελαμωνιαδῃ· του γαρ πεσεν αγχι μαλιστα·
Καρπαλιμως δ' απιοντος ακοντισε δουρι φαεινῳ.
Πουλυδαμας δ' αυτος μεν αλευατο κηρα μελαιναν,
Λικριφις αϊξας· κομισεν δ' Αντηνορος υἱος
Αρχελοχος· τῳ γεφρα Θεοι βουλευσαν ολεθρον·
Τον ϝρ' εβαλεν, κεφαλης τε και αυχενος εν συνεοχμῳ,
Νειατον αστραγαλον, απο δ' αμφω κερσε τενοντε·

---

438. καδδε ϝοι οσσε. Alii, τῳ δε οἱ οσσε.

465. εν συνεοχμῳ. in junctura, Ad imam vertebram: id est, cervicis. Forsitan, εν συνοχηθι· Ψ. 330.

Του δε πολυ προτερον κεφαλη, στομα τε, ϝρινες τε
Ουδεϊ πληντ', η περ κνημαι και γουνα πεσοντος.
Αιας δ' αυτε γεγωνεν αμυμονι Πουλυδαμαντι·
Φραζεο, Πουλυδαμα, και μοι νημερτες ενισπε· 470
Η ϝρ' ουχ ουτος ανηρ Προθοηνορος αντιπεφασθαι
Αξιος; ου μεν μοι κακος εσσεται, ουδε κακων εξ·
Αλλα κασιγνητος Αντηνορος ἱπποδαμοιο,
Η παϊς· αυτῳ γαρ γενεην αγχιστα ϝεοικει.
Η ϝρ', ευ γινωσκων· Τρωας δ' αχος εϝλαβε θυμον.
Ενθ' Ακαμας Προμαχον Βοιωτιον ουτασε δουρι, 476
Αμφι κασιγνητῳ βεβαως· ὁ δ' ὑφελκε ποδοιϊν.
Τῳ δ' Ακαμας εκπαγλον επευξατο, μακρον αϋσας·
Αργειοι ϝιομωροι, απειλαων ακορητοι,
Ου θην οιοισιν γε πονος τ' εσεται και οϊζυς 480
Ἡμιν, αλλα ποθ' ὡδε κατακτανεεσθε και υμμες.
Φραζεσθ', ὡς ὑμιν Προμαχος δεδμημενος εὑδει
Εγχει εμῳ, ἱνα μη τι κασιγνητοιο γε ποινη
Δηρον εῃ ατιτος· τῳ και κε τις ευχεται ανηρ
Γνωτον ενι ϝμεγαροισι ϝαρης αλκτηρα λιπεσθαι. 485
Ὡς εφατ'· Αργειοισι δ' αχος γενετ' ευξαμενοιο·
Πηνελεῳ δε μαλιστα δαϊϕρονι θυμον ορινεν·
Ὡρμηθη δ' Ακαμαντος· ὁ δ' ουχ ὑπεμεινε ϝερωην
Πηνελεοιο ϝανακτος· ὁ δ' ουτασε Ϝιλιονηα,
Υἱον Φορβαντος πολυμηλου, τον ϝρα μαλιστα 490

---

469. γεγωνεν. clamavit: imperfectum a γεγωνω. Alia tempora sunt γεγονα, et εγεγωνεα. Forsitan γω clamabant, ut hodie in Australasiâ, coo; qui sonitus ad maximam distantiam pervenire dicitur.

471. Η ϝρ' ουχ οὗτος ανηρ. An sanè non hic vir: Ita MSS. Vulgò malè, Η δη ουχ.

472. ου μεν μοι κακος εσσεται. non quidem mihi vilis erit: sic, κακος εσσομαι, P. 180. Vulgò, κακος ειδεται, quod in digamma peccat. Bentleius, δοκεει κακος, et, ουτι κακος μοι ϝειδεται, proposuit.

479. ϝιομωροι. imbelles: vide Δ. 242.

484. Δηρον εῃ ατιτος. Diu non soluta sit: Ita Clarkius, et N. 414. Vulgò, Δηρον ατιτος εῃ· τιω quidem penultimam ancipitem habet. τῳ και κε τις ευχεται ανηρ. quare etiam tum quisque precatur vir: præsens indicativi cum particulâ κε· vide A. 32.

Ἑρμειας Τρωων εφιλει, και κτησιν οπασσε·
Τῳ δ' αρ ὑπο μητηρ μουνον τεκε Γιλιονηα·
Τον τοθ' ὑπ' οφρυος ουτα κατ' οφθαλμοιο θεμεθλα,
Εκ δ' ωσε γληνην· δορυ δ' οφθαλμοιο δια προ,
Και δια ῥινιου ηλθεν· ὁ δ' ἐζετο, χειρε πετασσας 495
Αμφω· Πηνελεος δε, ῥερυσσαμενος ξιφος οξυ,
Αυχενα μεσσον ελασσεν· απηραξεν δε χαμαζε,
Αυτῃ συν πηληκι, καρη· ετι δ' οβριμον εγχος
Ηεν εν οφθαλμῳ· ὁ δε φη, κωδειαν ανασχων,
Πεφραδε τε Τρωεσσι, και ευχομενος ῥεπος ηυδα· 500
Γειπεμεναι μοι, Τρωες, αγαυου Γιλιονηος
Πατρι φιλῳ και μητρι, γοημεναι εν ῥμεγαροισιν·
Ουδε γαρ ἡ Προμαχοιο δαμαρ Αλεγηνοριδαο,
Ανδρι φιλῳ ελθοντι γανυσσεται, ὁπποτε κεν δη
Εκ Τροιῃς συν νηυσι νεωμεθα κουροι Αχαιων. 505
Ὡς φατο· τους δ' αρα παντας ὑπο χλωρον δεος εῆλε·
Θεσπεσιον· μαλα δε σφι φαος γενετ' αμφοτερωθεν,
Ημεν προς νηων, και ὁμοιϊοφι πτολεμοιο. 670
Ἑκτορα δ' εφρασσαντο βοην αγαθον και ἑταιρους,
Ημεν ὁσοι μετοπισθεν αφεσταsαν, ουδ' εμαχοντο,
Ηδ' ὁσσοι παρα νηυσι μαχην εμαχοντο θοησιν.
Ουδ' αρ ετ' Αιαντι γμεγαλητορι γανδανε θυμῳ
Ἑσταμεν, ενθα περ αλλοι αφεσταsαν υἱες Αχαιων· 675
Αλλ' ὁγε νηων ικρι' επῳχετο, μακρα βιβασθων,
Νωμα δε ξυστον γμεγα ναυμαχον εν παλαμῃσι,
Κολλητον βλητροισι, δυωκαιεϝεικοσιπηχυ.
Ὡς δ' ὁτ' ανηρ ἱπποισι κελητιζειν εὖ γειδως,
Ὁς τ' επει εκ πολεων πισυρας συναγειρεται ἵππους,
Γσευας εκ πεδιοιο γμεγα προτι γαστυ διωκει, 681

---

660. ὑπερ τεκεων. per natos: Ita Ed. Pr. Alii, τοκεων· sed τοκηων esset.
663. Παιδων ηδ' αλοχων. nunc conjugis esto
Quisque suæ, tectique memor; nunc magna referto
Facta, patrum laudes. Æn. x. 280.
664. Ημεν τῳ ζωουσι. Tam cui vivunt: vel, Ημεν ὀθι. Vulgò, ὁτεῳ· vide O. 491. Knightius versum damnat.
667. ἁπαντων. omnium: Vulgò, ἑκαστου· vide E. 470.
668. Τοισι δε. Heynius et Knightius cum antiquis sex versus damnant.
670. ὁμοιϊοφι. molesti: Vulgò, ομοιΐου· vide I. 440.

Λαοφορον καθ' ὁδον, πολεες τε ϝε θηησαντο
Ανερες, ηδε γυναικες· ὁ δ' εμπεδον ασφαλες αιει
Θρωσκων αλλοτ' επ' αλλον αμειβεται· οἱ δε πετονται·
Ὡς Αιας επι πολλα θοαων ικρια νηων
Φοιτα, μακρα βιβας, φωνη δε οἱ αιθερ' ἱκανεν·
Αιει δε σμερδνον βοων Δαναοισι κελευε
Νηυσι τε και κλισιῃσιν αμυνεμεν. Ουδε μεν Ἕκτωρ
Μιμνεν ενι Τρωων ὁμαδῳ πυκα θωρηκταων·
Αλλ' ὡς τ' ορνιθων πετεηνων αιετος αιθων
Ϝεθνος εφορμᾶται, ποταμον παρα βοσκομεναων,
Χηνων, η γερανων, η κυκνων δουλιχοδειρων·
Ὡς Ἕκτωρ ιθυσε νεος κυανοπρωροιο
Αντιος αἰξας· τον δε Ζευς ωσεν οπισθε
Χειρι μαλα ϝμεγαλῃ, ωτρυνε δε λαον ὁμ' αυτῳ.
Αυτις δε δριμεια μαχη παρα νηυσιν ετυχθη·
Φαινης κ' ακμητας και ατειρεας αλληλοισιν
Αντεσθ' εν πολεμῳ· ὡς εϝσυμενως εμαχοντο.
Τοισι δε μαρναμενοισιν ὁδ' ην νοος· ητοι Αχαιοι
Ουκ εφασαν φευξεσθαι ὑπ' εκ κακου, αλλ' ολεεσθαι·
Τρωσι δε ϝελπετο θυμος ενι στηθεσσι ϝεκαστου,
Νηας ενιπρησειν, κτενεειν θ' ἡρωας Αχαιους.
Οἱ μεν τα φρονεοντες εφεσταν αλληλοισιν.
Ἕκτωρ δε πρυμνης νεος ἡψατο ποντοποροιο,
Καλης, ωκυαλου, ἡ Πρωτεσιλαον ενεικεν
Ες Τροϊην, ουδ' αυτις απηγαγε πατριδα γαιαν·
Του περ δη περι νηος Αχαιοι τε Τρωες τε

---

676. ικρια. tabulas: quibus navis tegebatur.

677. ξυστον ϝμεγα ναυμαχον. contum magnum navalibus pugnis aptum:

678. Κολλητον βλητροισι. Compactum annulis, duos et viginti cubitus longum: id est, tres et triginta pedes. Ajax solus telum hujusmodi vibrat.

679. κελητιζειν. insidere: Ita, κελητ' ὡς ἱππον ελαυνων, ubi Ulysses malo vehitur, Od. ε. 371. Vox non alibi in Homero occurrit. Ulysses tamen et Diomedes equis Rhesi insidebant. κ. 528. πισυρες, quatuor: vox est Æolica.

692. Χηνων. Knightius versum damnat.

Δαιουν αλληλους αυτοσχεδον· ουδ' αρα τοιγε
Τοξων αϊκας αμφις μενον, ουδε τ' ακοντων,
Αλλ' οἱγ' εγγυθεν ἱσταμενοι, ἑνα θυμον εχοντες,
Οξεσι δη πελεκεσσι και αξινῃσι μαχοντο,
Και ξιφεσι ῥμεγαλοισι, και εγχεσιν αμφιγυοισι.
Πολλα δε φασγανα καλα, μελανδετα, κωπηεντα,
Αλλα μεν εκ χειρων χαμαδις πεσον, αλλα δ' απ' ωμων
Ανδρων μαρναμενων· ῥεε δ' αἱματι γαια μελαινα.
Ἑκτωρ δε, πρυμνηθεν, επει ῥλαβεν, ουχι μεθιει,
Αφλαστον μετα χερσιν εχων, Τρωσιν δ' εκελευεν·
Οισετε πυρ, ἁμα δ' αυτοι αολλεες ορνυτ' αϋτην.
Νυν ἡμιν παντων Ζευς αξιον ἡμαρ εδωκε,
Νηας εῤλειν, αἱ δευρο Θεων αῤεκητι μολουσαι,
Ἡμιν πηματα πολλα θεσαν, κακοτητι γεροντων·
Οἱ μ', εθελοντα μαχεσθαι επι πρυμνῃσι νεεσσιν,
Αυτον τ' ισχαναασκον, εῤητυοντο τε λαον.
Αλλ' ει δη ῥα τοτ' εβλαπτε φρενας ευρυοπα Ζευς
Ἡμετερας, νυν αυτος εποτρυνει και ανωγει.
Ὡς εφαθ'· οἱ δ' αρα μαλλον επ' Αργειοισιν ορουσαν·
Αιας δ' ουκετ' εμιμνε, βιαζετο γαρ βελεεσσιν·
Αλλ' ανεχαζετο τυτθον, οϊομενος θανεεσθαι,
Θρηνυν εφ' ἑπταποδην, λιπε δ' ικρια νηος εϊσης·
Ενθ' αρ ὁγ' ἑστηκει δεδοκημενος, εγχει δ' αιει
Τρωας αμυνε νεων, ὁστις φεροι ακαματον πυρ.
Αιει δε σμερδνον βοοων, Δαναοισι κελευεν·

---

709. αϊκας. impetus: ab αΐσσω. Ita, πολυαϊκος πολεμοιο.

716. πρυμνηθεν, επει ῥλαβεν, ουχι μεθιει. a puppi, postquam prehenderat, non remisit: μεθιει ablativum regit, εῤλαβεν genitivum, ut, κεφαληφιν επει ῥλαβεν, Π. 760.

717. Αφλαστον. Aplustrum: navis insigne.

718. Οισετε πυρ. Ferte ignem:

Invadit classem, sociosque incendia poscit;
Atque manum pinu flagranti fervidus implet. Æn. ix. 71.

727. Αιας. Knightius versus viginti damnat.

729. Θρηνυν εφ' ἑπταποδην. Ad scabellum septem pedes longum: id est, ubi stabat gubernator.

730. δεδοκημενος. ex insidiis: a δοκαω, quod non alibi legitur.

Ω φιλοι, ἡρωες Δαναοι, θεραποντες Αρηος,
Ανερες εστε, φιλοι, μνησασθε δε θουριδος αλκης.
Ηε τινας φαμεν ειναι αοσσητηρας οπισσω ;
Ηε τι τειχος αρειον, ὁ κ' ανδρασι λοιγον αμυναι ;
Ου μεν τις σχεδον εστι πολις, πυργοις αραρυια,
Ἡι κ' απαμυναιμεσθ', ἑτεραλκεα δημον εχοντες·
Αλλ' εν γαρ Τρωων πεδιῳ πυκα θωρηκταων,
Ποντῳ κεκλιμενοι, ἑκας ἡμεθα πατριδος αιης·
Τῳ εν χερσι φαος, ου μειλιχιῃ πολεμοιο.
Η, και μαιμωων εφεπ' εγχειϊν οξυοεντι·
Ὁστις δε Τρωων κοιλης επι νηυσι φεροιτο,
Συν πυρι κηλειῳ, χαριν Ἑκτορος οτρυναντος,
Τον δ' Αιας ουτασκε, δεδεγμενος οξει δουρι·
Δωδεκα δε προπαροιθε νεων αυτοσχεδον ουτα.

---

736. Ηε τι τειχος. Quò deinde fugam? Quò tenditis? inquit. Quos alios muros, quæ jam ultrà mœnia habetis? Æn. ix. 781.

741. Τῳ εν χερσι φαος. In manibus Mars ipse, viri. Æn. x. 280.

743. Ὁστις δε Τρωων. Quicunque verò Trojanorum cavas ad naves sibi ferret, Cum igne ardente, gratiam Hectoris hortantis: id est, sibi obtinere vellet. Ita, τα πρωτα φερεσθω, prima præmia obtineat, Ψ. 538, χαριν αροιο, Δ. 95, δωρα φεροιο, Δ. 97, et, φεραν χαριν Ἑκτορι, Ε. 211. Vulgò interpretes, cavas ad naves ferretur in gratiam Hectoris: sed χαριν nusquam hunc sensum obtinet.

ΟΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Π.

ARGUMENTA.

Πατροκλεία.

Πι, Πατροκλον επεφνεν Αρηϊον Εκτορος αιχμη.

2. PATROCLUS Achillem lacrymans adit.—5. Achilles causam luctûs sciscitatur.—20. Patroclus Achivorum miserias exponit, et precatur, ut opem iis ferre permittat.—48. Achilles causas iræ recenset.—102. Ajax tandem cedit.—112. Hector Protesilai navem incendit.—124. Hoc viso, Achilles Patroclum auxilio mittit.—130. Patroclus arma Achillis induit. —148. Automedon currum parat.—155. Achilles Myrmidonas instruit. —168. Myrmidonum numerus et duces.—200. Achilles eos hortatur.— 220. Jovem precatur.—257. Myrmidonas in prælium euntes Patroclus hortatur.—278. Trojani pavent.—284. Patroclus Pyræchmum interficit. —306. Achivi plures cædunt.—419. Sarpedon Patroclo adversatur.— 431. Jupiter filium Sarpedonem moribundum luget.—477. Patroclus Sarpedonem ferit.—492. Sarpedon Glaucum advocat.—508. Apollo Glaucum reficit.—532. Glaucus Hectorem excitat.—569. Trojani Achivos pellunt.—644. Jupiter iterum Græcis vincere concedit.—666. Sarpedonis cadaver in Lyciam mittit.—697. Apollo Patroclum a mœnibus Trojæ repellit.—712. Hectorem incitat.—733. Patroclus Cebrionem interficit.—783. Apollo Patroclum armis spoliat.—806. Deinde Euphorbus vulnerat.—818. Postremò Hector ferit, et gloriatur.—843. Patroclus mortem Hectori prædicit, et moritur.—864. Hector equos Achillis insequitur.

ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Π.

Ὡς οἱ μεν περι νηος εϋσελμοιο μαχοντο·
Πατροκλος δ' Αχιληϊ παριστατο, ποιμενι λαων,
Δακρυα θερμα χεων, ὡς τε κρηνη μελανυδρος,
Ἥ τε κατ' αιγιλιπος πετρης δνοφερον χεει ὑδωρ.
Τον δε ϊδων ωκτειρε ποδαρκης διος Αχιλλευς,
Και μιν φωνησας ϝεπεα πτεροεντα προσηυδα·
Τιπτε δεδακρυσαι, Πατροκλεες; ηϋτε κουρη
Νηπιη, ἡ θ' ἁμα μητρι θεουσ' ανεϝλεσθαι ανωγει,
Ἁπτομενη ϝεανοιο, και εϝσυμενην κατεϝρυκει,
Δακρυοεσσα δε μιν ποτιδερκεται, ὁϝρ' ανεϝληται·
Τῃ ϝικελος, Πατροκλε, τερεν κατα δακρυον ειβεις.
Ηε τι Μυρμιδονεσσι πιφαυσκεαι, ηε μεθιν αυτῳ;
Ηε τιν' αγγελιην Φθιης εξ εκλυες οιος;
Ζωειν μαν ετι φασι Μενοιτιον, Ακτορος υἱον,
Ζωει δ' Αιακιδης Πηλευς μετα Μυρμιδονεσσι,
Των κε μαλ' αμφοτερων ακαχοιμεθα τεθνειωτων.
Ηε συγ' Αργειων ολοφυρεαι, ὡς ολεκονται
Νηυσιν επι γλαφυρῃσιν, ὑπερβασιης ἑνεκα σφης;
Εξαυδα, μη κευθε νοῳ, ἱνα ϝειδομεν αμφω.

---

1. Ὡς οἱ μεν. Knightius, qui Iliadem unâ serie edidit, hujusmodi librorum juncturas omittit.

3. Δακρυα θερμα χεων. largo humectat flumine vultus. Æn. i. 465.

4. αιγιλιπος. excelsæ: quam etiam capri relinquunt.

9. Ἁπτομενη ϝεανοιο. Prehendens vestem: Vulgò, Ειανου ἁπτομενη· sed hæc forma non alibi occurrit. Vulgò etiam, και τε.

11. τερεν κατα δακρυον ειβεις. teneram lacrymam stillas: Ita T. 323, Ω. 9, et in quinque Odysseæ locis, et passim δακρυα λειβων. Knightius tamen has voces non Homericas esse censet, et versum damnat.

12. μεθιν. mihi: Vulgò, εμοι· vide Ε. 896.

Τον δε βαρυστεναχων προσεφης, Πατροκλεες ἱππευ·
Ω Αχιλευ, Πηληος υἱϊ, μεγα φερτατ' Αχαιων,
Μη νεμεσα· τοιον γαρ αχος βεβιηκεν Αχαιους.
Οἱ μεν γαρ δη παντες, ὁσοι παρος ησαν αριστοι,
Εν νηυσιν κεαται βεβλημενοι ουταμενοι τε.
Βεβληται μεν ὁ Τυδεϊδης κρατερος Διομηδης·
Ουτασται δ' Οδυσευς δουρικλυτος, ηδ' Αγαμεμνων·
Βεβληται δε και Ευρυπυλος κατα μηρον οϊστῳ.
Τους μεν τ' ιητροι πολυφαρμακοι αμφιπενονται,
Ἑλκε' ακειομενοι· συ δ' αμηχανος επλευ, Αχιλλευ·
Μη εμεγ' ουν οὑτος γε γλαβοι χολος, ὁν συ φυλασσεις·
Αιν', αρετης τις τ' αλλος ονησεται, οψιγονος περ,
Αι κε μη Αργειοισιν αφεικεα λοιγον αμυνῃς;
Νηλεες· ουκ αρα σοιγε πατηρ ην ἱπποτα Πηλευς,
Ουδε Θετις μητηρ· γλαυκη δε σε τικτε θαλασσα,
Πετραι τ' ηλιβατοι, ὁ σεθιν νοος εστιν απηνης.
Ει δε τινα φρεσι σῃσι θεοπροπιην αλεεινεις,
Και τι σεθιν παρ Ζηνος επεφραδε ποτνια μητηρ,
Αλλ' εμε περ προες ωχ', ἁμα δ' αλλον λαον οπασσον
Μυρμιδονων, αι κεν τι φαος Δαναοισι γενωμαι·
Δος δε μοι ωμοιϊν τα σα τευχεα θωρηχθηναι,
Αι κ' εμε σοι βισχοντες αποσχωνται πολεμοιο
Τρωες, αναπνευσωσι δ' Αρηϊοι υἱες Αχαιων
Τειρομενοι· ολιγη δε τ' αναπνευσις πολεμοιο.

---

20. Πατροκλεες ἱππευ. Patrocle eques: Vulgò malè, Πατροκλεις· spondæus enim ante vocem spondaicam in quinto loco non licet.

21. Πηληος υἱϊ, μεγα φερτατ' Αχαιων. Vulgò, Πηλεος υἱε· vide A. 489.

O Danaûm fortissime gentis. Æn. i. 96.

25. ὁ Τυδεϊδης. ille Tydei filius: Aristophanes articulum tollebat. Schol.

31. Αιν', αρετης τις τ' αλλος ονησεται. Sæve, virtute quis alius fruetur? Ita, Οιος βης αρετης απονησεται, Λ. 762. Eustathius hanc lectionem præbet. Vulgò, Αιναρετη· τις σευ αλλος· sed vox Αιναρετης non alibi occurrit, et τις συ αλλος in metrum peccat. Alii, τι σευ αλλος. Αιν', αρετην τις τ' αλλος αποσσεται, Sæve, virtutem quisque alius vituperabit, meliùs cum οψιγονος cohæreret; confer Od. θ. 239, α. 302. Knightius versus 30, 31, et 32 damnat.

33. Νηλεες. η ῥα λεαινης
Μασδον εθηλαζε, δρυμῳ τε μιν ετρεφε μητηρ. Theocr. Idyll. iii. 15.

35. ὁ σεθιν. quòd tibi: Vulgò, ὁτι σοι· A. 56, 180.

Γρεια δε κ᾽ ακμητες κεκμηοτας ανδρας αϋτῃ
Ωσαιμεν προτι ϝαστυ νεων απο και κλισιαων.
Ὡς φατο γλισσομενος, γμεγα νηπιος· η γαρ εμελλεν
Γοι αυτῳ θανατον τε κακον και κηρα γλιτεσθαι.
Τον δε γμεγ᾽ οχθησας προσεφη ποδας ωκυς Αχιλλευς·
Ω μοι, Διογενες Πατροκλεες, οἷον εϝειπες ;
Ουτε θεοπροπιης εμπαζομαι, ἠν τινα ϝοιδα,
Ουτε τι μοι παρ Ζηνος επεφραδε ποτνια μητηρ·
Αλλα τοδ᾽ αινον αχος κραδιην και θυμον ἱκανει,
Ὁπποτε δη τον ὁμοιον ανηρ εθελησιν αμερσαι,
Και γερας αψ απεγλεσθαι, ὁ τε κρατεϊ προβεβηκει·
Αινον αχος το μοι εστιν, επει παθον αλγεα θυμῳ.
Κουρην, ἠν αρα μοι γερας εκγελον υἱες Αχαιων,
Δουρι δ᾽ εμῳ κτεατισσα, πολιν ευτειχεα περσας,
Την αψ εκ χειρων ϝελετο κρειων Αγαμεμνων
Ατρεϊδης, ὡς ει τιν᾽ ατιμητον μεταναστην.
Αλλα τα μεν προτετυχθαι εϝασομεν· ουδ᾽ αρα πως ην
Ασπερχες κεχολωσθαι ενι ϝρεσιν· ητοι εφην γε
Ου πριν μηνιθμον καταπαυσεμεν, αλλ᾽ ὁτε κεν δη
Νηας εμας αφικηται αϋτη τε πτολεμος τε.
Τυνη δ᾽ ωμοιϊν μεν εμα κλυτα τευχεα δυθι,
Αρχε δε Μυρμιδονεσσι γιλοπτολεμοισι μαχεσθαι·
Ει δη κυανεον Τρωων γνεγος αμγιβεβηκε
Νηυσιν επικρατεως· οἱ δε γρηγμινι θαλασσης

Nec tibi Diva parens, generis nec Dardanus auctor,
Perfide sed duris genuit te cautibus horrens
Caucasus, Hyrcanæque admôrunt ubera tigres. Æn. iv. 365.

37. Και τι σεθεν. Et aliquid tibi: Ita sensus postulat, et sic Π. 51. Vulgò malè, Και τινα τοι.

39. αι κεν τι ϝαος. si tum aliqua lux: Ita ex MSS. nonnullis reposui, et ita Λ. 796. Vulgò, ην που τι ϝοως· vide Α. 90, Β. 49.

41. Αι κ᾽ εμε σοι ϝισχοντες. Si me tibi assimilantes: vide Λ. 798.

43. Τειρομενοι. Knightius versum damnat, ut et 59, 84, 85, 86, 89, 90.

54. ὁ τε κρατεϊ προβεβηκει. qui vi superior erat: Ven. et Townl. προβεβηκη· sed illud præstat, ut δεδμηατο, Γ. 183.

60. ουδ᾽ αρα πως ην. neque sanè ullo modo possibile erat: ita Ψ. 670. Alii, ουδ᾽ αρα περ ην, contra metrum.

62. ὁτε κεν δη. quando demum: Vulgò, ὁποταν δη.

Κεκλιαται, χωρης ολιγην ετι μοιραν εχοντες,
Αργειοι· Τρωων δε πολις επι πασα βεβηκε,
Θαρσυνος· ου γαρ εμης κορυθος λευσσουσι μετωπον
Εγγυθι λαμπομενης· ταχα κεν φευγοντες εναυλους
Πλησειαν νεκυων, ει μοι κρειων Αγαμεμνων
Ηπια ϝειδειη· νυν δε στρατον αμφιμαχονται.
Ου γαρ Τυδεΐδεω Διομηδεος εν παλαμηισι
Μαινεται εγχειη, Δαναων απο λοιγον αμυναι·
Ουδε πω Ατρεΐδεω ϝοπος εκλυον αυδησαντος
Εχθρης εκ κεφαλης· αλλ' Ἕκτορος ανδροφονοιο,
Τρωσι κελευοντος, περιϝαγνυται· οἱ δ' αλαλητῳ
Παν πεδιον κατεχουσι, μαχῃ νικῶντες Αχαιους.
Αλλα και ὡς, Πατροκλε, νεων απο λοιγον αμυνων
Εμπεσ' επικρατεως, μη δη πυρος αιθομενοιο
Νηας ενιπρησωσι, φιλον δ' απο νοστον εϝλωνται.
Πειθεο δ', ὡς τοι εγω μυθου τελος εν φρεσι θειω·
Ὡς κεν μοι τιμην μεγαλην και κυδος αρηαι
Προς παντων Δαναων· αϝαρ οἱ περικαλλεα κουρην
Αψ απονασσωσιν, προτι δ' αγλαα δωρα πορωσιν·
Εκ νηων ελασας, ιεναι παλιν· ει δε κεν αυ τοι
Δωῃ κυδος αρεσθαι εριγδουπος ποσις Ἥρης,
Μη συγ' ανευθεν εμειο λιλαιεσθαι πολεμιζειν
Τρωσι φιλοπτολεμοισιν· ατιμοτερον δε με θησεις.
Μηδ' επαγαλλομενος πολεμῳ και δηϊοτητι,
Τρωας εναιρομενος, προτι Ϝιλιον ἡγεμονευειν·
Μη τις απ' Ουλυμποιο Θεων αιειγενεταων

---

84. αρηαι. capias: Ita Ed. Pr. et MSS. meliores; alii, αροιο.

87. ιεναι παλιν. reverti: a πειθεο pendet, v. 83.

94. Εμβειη. Invadat: Ita Hesychius, et ita βειω, Z. 113; vide Στ Ε. 598. Vulgò, Εμβηη.

95. επει κε φαος επι νηυσι. postquam lucem ad naves Feceris: id e salutem, Π. 39. Vulgò, επην φαος εν νηεσσι· sed επην vox non est Homeri et επι præstat.

96. ϝεα. permitte: Ita Edd. Vett. Turnebus ϝεῖν induxit.

99. νωϊ δ' εκδυμεν ολεθρον. nos verò fugeremus exitium: optativi for Homerica; ita Heynius; vulgò, νωΐν. Nonnulli versus quatuor a 97 da nant, sed optimè Achillis personæ conveniunt.

Εμβειη· μαλα τουσγε φιλεῖ ἑκαεργος Απολλων·
Αλλα παλιν τρωπᾶσθαι, επει κε φαος επι νηυσι
Θειης, τουσδε δ' εφα πεδιον κατα δηριαασθαι.
Αι γαρ, Ζευ τε πατερ, και Αθηναιη, και Απολλον,
Μητε τις ουν Τρωων θανατον φυγοι, ὁσσοι εασι,
Μητε τις Αργειων, νωϊ δ' εκδυμεν ολεθρον,
Ὀφρ' οιοι Τροϊης ἱερα κρηδεμνα λυοιμεν.
Ὡς οἱ μεν τοιαυτα προς αλληλους αγορευον.
Αιας δ' ουκετ' εμιμνε· βιαζετο γαρ βελεεσσι·
Δαμνα μιν Ζηνος τε νοος και Τρωες αγαυοι
Βαλλοντες· δεινην δε περι κροταφοισι φαεινη
Πληξ βαλλομενη καναχην εχε· βαλλετο δ' αιει
Καπφαλαρ' ευποιηθ'· ὁ δ' αριστερον ωμον εκαμνεν,
Εμπεδον αιεν εχων σακος αιολον· ουδε δυναντο
Αμφ' αυτῳ πελεμιξαι, ερειδοντες βελεεσσιν·
Αιει δ' αργαλεῳ εχετ' ασθματι· καδδε οι ἱδρως
Παντοθεν εκ μελεων πολυς εῤῥεεν, ουδε πη ειχεν
Αμπνευσαι· παντη δε κακον κακῳ εστηρικτο.
Γεσπετε νυν μοι, Μουσαι, Ολυμπια δωματ' εχουσαι,
Ὁππως δη πρωτον πυρ εμπεσε νηυσιν Αχαιων.
Ἑκτωρ δ' Αιαντος δορυ μειλινον αγχι παραστας
Πληξ' αορι μεγαλῳ, αιχμης παρα καυλον οπισθεν·
Αντικρυ δ' απαραξε· το μεν Τελαμωνιος Αιας
Πηλ' αυτως εν χειρι κολον δορυ· τηλε δ' απ' αυτου
Αιχμη χαλκειη χαμαδις βομβησε πεσουσα.
Γνω δ' Αιας κατα θυμον αμυμονα, ῥιγησεν τε

---

100. κρηδεμνα. turres: propriè, capitis redimicula; Ξ. 184.

102. Αιας δ' ουκετ' εμιμνε. Referuntur hæc ad O. 746.

Ergo nec clypeo juvenis subsistere tantùm,
Nec dextrâ valet; injectis sic undique telis
Obruitur; strepit assiduo cava tempora circum
Tinnitu galea, et saxis solida æra fatiscunt;
Discussæque jubæ capiti; nec sufficit umbo. Æn. ix. 806.

112. Γεσπετε νυν μοι, Μουσαι. Rei magnitudo novam invocationem postulat. His interpositis, sententia copulâ δε continuatur, quam malè Barnesius omisit.

115. αιχμης παρα καυλον οπισθεν. ad caulem post cuspidem:

117. κολον δορυ. mutilam hastam: vox non alibi occurrit.

Ϝεργα Θεων, ὁϝρα παγχυ μαχης επι μηδεα κειρει
Ζευς ὑψιβρεμετης, Τρωεσσι δε βουλετο νικην.
Χαζετο δ' εκ βελεων· τοι δ' εμβαλον ακαματον πυρ
Νηϊ θοῃ· της δ' αιψα κατ' ασβεστη κεχυτο φλοξ.
Ὡς την μεν πρυμνην πυρ αμφεπεν· αυταρ Αχιλλευς
Μηρω πληξαμενος Πατροκλεεα προσεϝειπεν·
Ορσεο, Διογενες Πατροκλεες, ἱπποκελευθε·
Λευσσω δη παρα νηυσι πυρος δαϊοιο ϝερωην·
Μη δη νηας εφλωσι και ουκετι φυκτα πελωνται·
Δυσεο τευχεα θασσον, εγω δε κε λαον αγειρω.
Ὡς φατο· Πατροκλος δε κορυσσετο νωροπι χαλκῳ·
Κνημιδας μεν πρωτα περι κνημῃσιν εθηκε
Καλας, αργυρεοισιν επισφυριοις αραρυιας·
Δευτερον αυ θωρηκα περι στηθεσσιν εδυνε,
Ποικιλον, αστεροεντα, ποδωκεος Αιακιδαο·
Αμφι δ' αρ ωμοισιν βαλετο ξιφος αργυροηλον,
Χαλκεον· αυταρ επειτα σακος ϝμεγα τε στιβαρον τε·
Κρατι δ' επ' ιφθιμῳ κυνεην ευτυκτον εθηκεν,
Ἱππουριν· δεινον δε ϝλοφος καθυπερθεν ενευεν.
Εϝλετο δ' αλκιμα δουρα, τα οι παλαμηθιν αρηρει·
Εγχος δ' ου ϝελετ' οιον αμυμονος Αιακιδαο,
Βριθυ, ϝμεγα, στιβαρον· το μεν ου δυνατ' αλλος Αχαιων
Παλλειν, αλλα μιν οιος επιστατο πηλαι Αχιλλευς·
Πηλιαδα ϝμελιην, την πατρι ϝιλῳ τορε Χειρων
Πηλιου εκ κορυϕης, ϕονον εμμεναι ἡρωεσσιν.

---

120. ὁϝρα κειρει. quòd abscindat, Trojanisque consuleret victoriam: Singularis temporum mutatio: sed βουλετο, επλετο, γενετο, aliaque verba, sæpe tempore indefinito usurpantur. Alii κειρε legunt. Vulgò, ὁ ῥα.

126. ἱπποκελευθε. equorum hortator: a κελευω. Κελευθος propriè est via equestris; O. 260. Bentleius ἱπποκελευστα proposuit.

127. πυρος δαϊοιο ϝερωην. ignis hostilis impetum: vel, δαϊῶφιν ϵϝρωην. Vide B. 415, 621, A. 303. Heynius, δηϊοιο ϝιωην· K. 139.

130. Πατροκλος. Poeta multo cum apparatu Mymidonum in prælium profectionem nobilitat.

139. αλκιμα δουρα. valìdas hastas: Æn. x. 401. Alii, αλκιμα δουρε.

139. παλαμηθι. manui: Vulgò, παλαμηφι· vide B. 418.

140. Εγχος δ' ου ϝελετ' οιον. Hastam verò non sibi sumpsit solam:

Ἵππους δ' Αὐτομεδοντα θοως ζευγνυμεν ανωγε,
Τον μετ' Αχιλληα ϝρηξηνορα τιε μαλιστα·
Πιστοτατος δε ϝοι εσκε μαχῃ ενι μειναι ὁμοκλην.
Τῳ δε και Αὐτομεδων ὑπαγε ζυγον ωκεας ἵππους,
Ξανθον και Βαλιον, τω ἁμα πνοιῃσι πετεσθην·
Τους ετεκε Ζεφυρῳ ανεμῳ Ἅρπυια Ποδαργη,
Βοσκομενη λειμωνι παρα ϝροον Ὠκεανοιο.
Εν δε παρηοριῃσιν αμυμονα Πηδασον ἐει,
Τον ϝρα ποτ' Ηετιωνος εϝλων πολιν ηγαγ' Αχιλλευς·
Ὃς και θνητος εων ἑπεθ' ἵπποις αθανατοισι.
Μυρμιδονας δ' αρ εποιχομενος θωρηξεν Αχιλλευς
Παντας ανα κλισιας συν τευχεσιν· οἱ δε, λυκοι ὡς
Ὠμοφαγοι, τοισιν τε περι φρεσιν ασπετος αλκη,
Οἵ τ' ελαφον κεραον ϝμεγαν ουρεσι δαιωσαντες
Δαπτουσιν· πασιν δε παρηϊον αἵματι φοινον·
Και τ' αγεληδον ιασιν, απο κρηνης μελανυδρου
Λαιψοντες γλωσσῃσι ϝαραιῃσιν μελαν ὕδωρ
Ακρον, ερευγομενοι φονον αἵματος· εν δε τε θυμος
Στηθεσιν ατρομος εστι, περιστενεται δε τε γαστηρ·
Τοισι Μυρμιδονων ἡγητορες ηδε μεδοντες
Αμϕ' αγαθον θεραποντα ποδωκεος Αιακιδαο
Ϝρωοντ'· εν δ' αρα τοισιν Αϝρηϊος ἵστατ' Αχιλλευς,
Οτρυνων ἵππους τε και ανερας ασπιδιωτας.
Πεντηκοντ' ησαν νηες θοαι, ἧσιν Αχιλλευς
Ες Τροϊην ἡγειτο Διϊ ϕιλος· εν δε ϝεκαστῃ

Optimè hoc fictum ad Achillis eminentiam servandam, et ne hasta Pelias amitteretur. Vulcanus hanc parâsse, et Minerva poliisse dicuntur.

143. Πηλιαδα ϝμελιην. Knightius duos versus damnat.

145. ζευγνυμεν. jungere: Vide o. 120.

149. ἁμα πνοιῃσι. cursuque pedum prævertere ventos. Æn. vii. 807.

150. Ἅρπυια Ποδαργη. Nomen equæ alicujus celebris; ita, τεκνα Ποδαργης, T. 400. Non hic de Virgilii Harpyiis agitur. Antiqui equas vento concipere existimabant; Georgic. iii. 271. Plin. Hist. Nat. viii. 42.

156. οἱ δε, λυκοι ὡς. Inde, lupi ceu Raptores. Æn. ii. 355.

161. Λαψοντες γλωσσῃσι ϝαραιῃσι. Lambentes linguis exilibus: Verbum non alibi occurrit. Ϝαραιος, E. 425.

166. ϝρωοντο. fortiter movebant: Hesych. et Schol.

Πεντηκοντ' εσαν ανδρες επι κληϊσιν ἑταιροι·
Πεντε δ' αρ ἡγεμονας ποιησατο, τοις επεποιθει
Σημαινειν· αυτος δε μεγα κρατεων εφανασσε.
Της μεν ιης στιχος ηρχε Μενεσθιος αιολοθωρηξ,
Υἱος Σπερχειοιο, Διϊπετεος ποταμοιο·
Τον τεκε Πηληος θυγατηρ, καλη Πολυδωρη,
Σπερχειῳ ακαμαντι, γυνη Θεῳ ευνηθεισα·
Αυταρ επικλησιν Βωρῳ, Περιηρεος υἱϊ,
Ὃς ῥ' αναφανδον οπυιε, πορων απερεισι' εεδνα.
Της δ' ἑτερης Ευδωρος Αρηϊος ἡγεμονευε
Παρθενιος, τον ετικτε χορῳ καλη Πολυμηλη,
Φυλαντος θυγατηρ· της δε κρατυς Αργειφοντης
Ηρασατ', οφθαλμοισι ϝιδων μετα μελπομενῃσιν
Εν χορῳ Αρτεμιδος χρυσηλακατου, κελαδεινης·
Αυτικα δ' εις ὑπερω αναβας, παρελεξατο λαθρη
Ἑρμειας Ακακητα· πορεν δε οι αγλαον υἱον
Ευδωρον, περι μεν θεεμεν ταχυν, ηδε μαχητην.
Αυταρ επει δη τονγε μογοστοκος Ειλειθυια
Εξαγαγε προ φαοσδε, και Ηελιου ϝιδεν αυγας,
Την μεν Εχεκλεος κρατερον μενος Ακτοριδαο
Ηγαγετο προς δωματ', επει πορε μυρι' εεδνα·
Τον δ' ὁ γερων Φυλας ευ ετρεφεν, ηδ' ατιταλλεν,
Αμφαγαπαζομενος, ὡς ει τ' εον υἱον εοντα.
Της δε τριτης Πεισανδρος Αρηϊος ἡγεμονευε
Μαιμαλιδης, ὁς πασι μετεπρεπε Μυρμιδονεσσιν

---

170. επι κληϊσιν. ad transtra: B. 74.

172. εφανασσε. regnabat: Vulgò, ηνασσε. Clarkius ad hunc locum digamma, Bentleii monitu, inserendum docet.

174. Διϊπετεος. A Jove cadentis: id est, Jovis imbribus aucti; pro Διοθεν πιπτοντος, unde secundam producit. Hesychius Διειπετεος habet; Euripides et Acta Apostolorum, Διοπετες αγαλμα. Potuit etiam Διοσπετης scripsisse, ut Διοσκουροι, et Διοσδοτος.

178. εεδνα. dotes: Ita εεδνωται, N. 382; vulgò, απερεισια εδνα.

183. χρυσηλακατου. auream colum habentis: Diana igitur, quamvis venatrix, ut aliæ Deæ, operibus vacabat.

184. εις ὑπερω αναβας. ad cubiculum ascendens: Vox præcisa est pro ὑπερωϊον, ut δω pro δωμα. Vulgò ὑπερῳ' scribitur, sed nec ὑπερῳον nec ὑπερωϊα usquam occurrunt.

Εγχεϊ μαρνασθαι, μετα Πηλεϊωνος ἑταϝρον.
Της δε τεταρτης ηρχε γερων ἱππηλατα Φοινιξ·
Πεμπτης δ' Αλκιμεδων, Λαερκεος υἱος αμυμων.
Αυταρ επει δη παντας ἁμ' ἡγεμονεσσιν Αχιλλευς
Στησεν εϋ κρινας, κρατερον δ' επι μυθον ετελλε·
Μυρμιδονες μη τις μοι απειλαων λελαθεσθω,
Ἁς επι νηυσι θοῃσιν απειλειτε Τρωεσσι,
Πανθ' ὑπο μηνιθμον, και μ' ῃτιαασθε ϝεκαστος·
Σχετλιε, Πηλεος υἱε, χολῳ αρα σ' ετρεφε μητηρ·
Νηλεες, ὁς παρα νηυσιν εχεις αϝεκοντας ἑταϝρους·
Ϝοικαδε περ συν νηυσι νεωμεθα ποντοποροισιν
Αυτις· επει ϝρα τοι ὡδε κακος χολος εμπεσε θυμῳ.
Ταυτα μ' αγειρομενοι θαμ' εβαζετε· νυν δε πεφανται
Φυλοπιδος ϝμεγα ϝεργον, ὁφιν το πριν γ' εραασθε·
Ενθα τις αλκιμον ητορ εχων Τρωεσσι μαχεσθω.
Ὡς ϝειπων, ωτρυνε μενος και θυμον ἁπαντων·
Μαλλον δε στιχες αρθεν, επει βασιληος ακουσαν.
Ὡς δ' ὁτε τοιχον ανηρ αραρῃ πυκινοισι λιθοισι
Δωματος ὑψηλοιο, βιας ανεμων αλεεινων·
Ὡς αραρον κορυθας τε και ασπιδας ομφαλοεσσας·
Ασπις αρ ασπιδ' ερειδε, κορυς κορυν, ανερα δ' ανηρ·
Ψαυον δ' ἱπποκομοι κορυθες λαμπροισι φαλοισι
Νευοντων· ὡς πυκνοι εφεστασαν αλληλοισι.
Παντων δε προπαροιθε δυ' ανερε θωρησσοντο,
Πατροκλος τε και Αυτομεδων, ἑνα θυμον εχοντες,

---

185. Ακακητα. Acacetes: Ita dictus ab Acaco, Arcadiæ monte, ut Cyllenius a monte Cyllene. Hesychius pro, ου κακου αιτιος, poni vult.

190. μυρι' εεδνα. innumeras dotes: Vulgò, μυρια εδνα· vide Π. 178, I. 146.

203. χολῳ. felle: unde iram significat.

207. εβαζετε. dicebatis: πεφανται, apparuit: a φαινω.

208. ὁφιν το πριν γ' εραασθε. cujus priùs cupidi eratis: ὁφιν pro οὑ, ut B. 325. Vulgò, ἑης, quæ vox nihili est.

210. ἁπαντων. omnium: Vulgò, ἑκαστου· vide E. 470.

211. αρθεν. aptabantur: pro ηρθησαν ab αρω.

214. Ὡς αραρον κορυθας τε. Ita aptabant galeasque et scuta umbilicata: nempe Mymidones. Ita certissimâ emendatione Bentleius; vulgò, κορυθες τε και ασπιδες· sententia tamen accusativos postulat, et αραρον nuspiam sensum neutralem habet. Vide ωρορον, B. 146. Potuit quidem αρθεν scripsisse.

Προσθεν Μυρμιδονων πολεμιζεμεν· αυταρ Αχιλλευς
Βη ῥ' ιμεν ες κλισιην· χηλου δ' απο πωμ' ανοϊγε
Καλης, δαιδαλεης, την ῥοι Θετις αργυροπεζα
Θηκ' επι νηος αγεσθαι, εϋ πλησασα χιτωνων,
Χλαιναων τ' ανεμοσκεπεων, ῥουλων τε ταπητων.
Ενθα δε ῥοι δεπας εσκε τετυγμενον, ουδε τις αλλος
Ουτ' ανδρων πινεσκεν απ' αυτοφιν αιθοπα ῥοινον,
Ουτε τεῳ σπενδεσκε Θεων, ὁτε μη Διϊ πατρι.
Το ῥα τοτ' εκ χηλοιο ῥλαβων εκαθηρε θεειῳ
Πρωτον, επειτα δε ῥνιψ' ὑδατος καλῃσι ῥοῃσι,
Ῥνιψατο δ' αυτος χειρας, αφυσσατο δ' αιθοπα ῥοινον·
Ευχετ' επειτα στας μεσῳ ἑρκεϊ, λειβε δε ῥοινον,
Ουρανον εισανορῶν· Δια δ' ου λαθε τερπικεραυνον·
Ζευ ῥανα, Δωδωναιε, Πελασγικε, τηλοθι ναιων,
Δωδωνης μεδεων δυσχειμερου· αμφι δε Σελλοι
Σοι ναιουσ' ὑποφηται, αϱνιπτοποδες, χαμαευναι.
Η μεν δη ποτ' εμον ῥεπος εκλυες ευξαμενοιο,
Τιμησας μεν εμε, ῥμεγα δ' ιψαο λαον Αχαιων·
Ηδ' ετι και νυν μοι τοδ' επικρηηνον εελδωρ·
Αυτος μεν γαρ εγω μενεω νηων εν αγωνι,
Αλλ' ἑταϱρον πεμπω, πολεσιν μετα Μυρμιδονεσσι,
Μαρναsθαι· τῳ κυδος ἁμα προες, ευρυοπα Ζευ·
Θαρσυνον δε οι ητορ ενι ῥρεσιν, ὁῥα και Ἕκτωρ
Γεισεται, η ῥα και οιος επιστηται πολεμιζειν
Ἡμετερος θεραπων, η οι τοτε χειρες ααπτοι
Μαινονθ', ὁπποτ' εγω περ ιω μετα μωλον Αρηος.

---

221. ανοϊγε. aperuit: Vulgò, ανεῳγε· sed οἴγω rarò contrahitur; z. 89.

226. απ' αυτοφιν. ab eo: Vulgò, απ' αυτου· vide B. 145.

227. Ουτε τεῳ. Neque alicui: vide B. 225. ὁτε μη. nisi: Aristarchus, ὁτι μη, emendare voluit; A. 56.

228. Το ῥα. Id sanè: Vulgò, Το ῥα· unde digamma accipere constat. Ita Apollonius Rhodius ὁ et το sæpe ante ῥα producit, et Hesychius τορῥα, habet, et ὁ ῥα, ubi verborum ordo ὁῥα fuisse indicat. A. 56, 294.

232. Ουρανον εισανορῶν. Cœlum suspiciens: Vulgò, εισανιδων. Knightius versum damnat, ut et 237, 261, 272, 273, 274.

233. Ζευ ῥανα. Jupiter rex: Vox præcisa pro ῥαναξ.

Αυταρ επει κ' απο ναυφι μαχην ενοπην τε δηται,
Ασκηθης μοι επειτα θοας επι νηας ἱκοιτο,
Τευχεσι τε ξυν πασι, και αγχεμαχοις ἑταιροισιν.
Ὡς εφατ' ευχομενος· του δ' εκλυε μητιετα Ζευς·
Τῳ δ' ἑτερον μεν εδωκε πατηρ, ἑτερον δ' ανενευσε· 250
Νηων μεν οι απωσασθαι πολεμον τε μαχην τε
Δωκε, σαον δ' ανενευσε μαχης εξ απονεεσθαι.
Ητοι ὁ μεν, σπεισας τε και ευξαμενος Διϊ πατρι,
Αψ κλισιην εισηλθε, δεπας δ' απεθηκ' ενι χηλῳ.
Στη δε παροιθ' ελθων κλισιης, ετι δ' ηθελε θυμῳ 255
Εσγιδεειν Τρωων και Αχαιων φυλοπιν αινην.
Οἱ δ' ἁμα Πατροκλῳ μεγαλητορι θωρηχθεντες
Εστιχον, ὀρ' εν Τρωσι μεγα φρονεοντες ορουσαν.
Αυτικα δε σφηκεσσι βεβοικοτες εξεχεοντο
Ενοδιοις, οὑς παιδες εριδμαινωσιν εθοντες, 260
Αιει κερτομεοντες, ὁδῳ επι ποικι' εχοντας,
Νηπιαχοι· ξυνον δε κακον πολεεσσι τιθεισι·
Τους δ' ει περ παρα τις τε κιων ανθρωπος ὁδιτης
Κινησει αμενων, οἱ δ' αλκιμον ητορ εχοντες,
Προσσω πας πετεται, και αμυνει οισι τεκεσσι· 265
Των τοτε Μυρμιδονες κραδιην και θυμον εχοντες,
Εκ νηων εχεοντο· βοη δ' ασβεστος ορωρει.
Πατροκλος δ' ἑταιροισιν εκεκλετο, μακρον αὐσας·
Μυρμιδονες, ἑταιροι Πηληϊαδεω Αχιλησς,
Ανερες εστε, φιλοι, μνησασθε δε θουριδος αλκης· 270
Ὡς κεν Πηλεϊδην τιμησομεν, ὁς μεγ' αριστος

---

235. ὑποφηται. qui sub Deo loquuntur: id est, secundum Dei monita. χαμαευναι. terrâ cubantes: χαμαθι κοιμωμενοι. Vulgò, χαμαιευναι· sed diphthongus in mediâ voce corripi nequit.

250. Τῳ δ' ἑτερον μεν εδωκε πατηρ, ἑτερον δ' ανενευσε.

Audiit, et voti Phœbus succedere partem
Mente dedit, partem celeres dispersit in auras.
Sterneret ut subitâ turbatam morte Camillam
Annuit oranti; reducem ut patria alta videret,
Non dedit, inque Notos vocem vertere procellæ. Æn. xi. 794.

260. εριδμαινωσιν εθοντες. irritent frequentantes: vide I. 536.

Αργειων παρα νηυσι, και αγχεμαχοι θεραποντες·
Γνωῃ δ' Ατρεϊδης, ευρυκρειων Αγαμεμνων,
Ηην αρατην, ὁτ' αριστον Αχαιων ουδεν ετισεν.
Ὡς ειπων, ωτρυνε μενος και θυμον ἁπαντων.
Εν δ' επεσον Τρωεσσιν αολλεες· αμφι δε νηες
Σμερδαλεον κοναβησαν, αϋσαντων ὑπ' Αχαιων.
Τρωες δ', ὡς εἰδοντο Μενοιτιου αλκιμον υἱον,
Αυτον, και θεραποντα, συν εντεσι μαρμαιροντας,
Πασιν ορινθη θυμος, εκινηθεν δε φαλαγγες,
Γελπομενοι παρα ναυφι ποδωκεα Πηλεϊωνα
Μηνιθμον μεν αποῤῥιψαι, φιλοτητα δ' εἑλεσθαι·
Παπτηνεν δε γεκαστος, ὁπη φυγοι αιπυν ολεθρον.
Πατροκλος δε πρωτος ακοντισε δουρι φαεινῳ,
Αντικρυ κατα μεσσον, ὁθι πλειστοι κλονεοντο,
Νηϊ παρα πρυμνῃ γμεγαθυμου Πρωτεσιλαου·
Και βαλε Πυραιχμην, ὁς Παιονας ἱπποκορυστας
Ηγαγεν ἐξ Αμυδωνος, απ' Αξιου ευρυ γρεοντος·
Τον βαλε δεξιον ωμον· ὁ δ' ὑπτιος εν κονιηθι
Καππεσεν οιμωξας· ἑταιροι δε μιν αμφεφοβηθεν
Παιονες· εν γαρ Πατροκλος φοβον ἡκεν ἁπασιν,
Ἡγεμονα κτεινας, ὁς αριστευεσκε μαχεσθαι.
Εκ νηων δ' ελασεν, κατα δ' εσβεσεν αιθομενον πυρ.
Ἡμιδαης δ' αρα νηυς λιπετ' αυτοθι· τοι δ' εφοβηθεν
Τρωες θεσπεσιῳ ὁμαδῳ· Δαναοι δ' επεχυντο
Νηας ανα γλαφυρας· ὁμαδος δ' αλιαστος ετυχθη.
Ὡς δ' ὁτ' αφ' ὑψηλης κορυφης ορεος γμεγαλοιο
Κινησει πυκινην γνεφελην στεροπηγερετα Ζευς,
Εκ τ' εφανον πασαι σκοπιαι και πρωονες ακροι,

---

273. Γνωῃ δ'. Sciat verò: Vulgò, Γνῳ δε και· vide A. 411.
275. ἁπαντων. omnium: Vulgò, ἑκαστου· E. 470.
298. στεροπηγερετα Ζευς. fulmen colligens Jupiter: Knightius, Ζευς αστεροπητης, edidit ab A. 609; vocem enim αστεροπη ita præcidi posse negat; vide A. 66.
305. ὑπεξεικον. cesserunt: Vulgò, ὑποειξαν· A. 294.
315. Μυων. Musculus: Heynius Μυιων edidit.
321. τον δ' αντιθεος Θρασυμηδης. hunc verò eximius Thrasymedes Præoccu-

Και ναπαι, ουρανοθεν δ' αρ ὑπεφαγη ασπετος αιθηρ·
Ὡς Δαναοι, νηων μεν απωσαμενοι δαϊον πυρ,
Τυτθον ανεπνευσαν· πολεμου δ' ου γινετ' εφρων·
Ου γαρ πω τι Τρωες Αφρηϊφιλων ὑπ' Αχαιων
Προτροπαδην φοβεοντο μελαιναων απο νηων,
Αλλ' ετ' αρ ανθισταντο, νεων δ' ὑπεφεικον αναγκη. 305
Ενθα δ' ανηρ ελεν ανδρα, κεδασθεισης ὑσμινης,
Ἡγεμονων· πρωτος δε Μενοιτιου αλκιμος υἱος
Αυτικ' αρα στρεφθεντος Αφρηϊλυκου βαλε μηρον
Εγχειϊ οξυοεντι, δια προ δε χαλκον ελασσε·
Φρηξεν δ' οστεον εγχος· ὁ δε πρηνης επι γαιη 310
Καππεσ'· αφαρ Μενελαος Αφρηϊος ουτα Θοαντα,
Στερνον γυμνωθεντα παρ' ασπιδα, λυσε δε γυια.
Φυλειδης δ' Αμφικλον, εφορμηθεντα δοκευσας,
Εφθη ορεξαμενος πρυμνον σκελος, ενθα παχιστος
Μυων ανθρωπου πελεται· περι δ' εγχεος αιχμη 315
Νευρα διεσχισθη· τον δε σκοτος οσσ' εκαλυψε.
Νεστοριδαι δ', ὁ μεν ουτασ' Ατυμνιον οξεϊ δουρι,
Αντιλοχος, φλαπαρης δε διηλασε χαλκεον εγχος·
Ηριπε δε προπαροιθε· Μαρις δ' αυτοσχεδα δουρι
Αντιλοχῳ επορουσε, κασιγνητοιο χολωθεις, 320
Στας προσθεν νεκυος· τον δ' αντιθεος Θρασυμηδης
Εφθη ορεξαμενος, πριν γ' ουτασαι, ουδ' αφαμαρτεν,
Ωμον αφαρ· πρυμνον δε βραχιονα δουρος ακωκη
Δρυψ' απο μυωνων, απο δ' οστεον αχρις αραξε·
Δουπησεν δε πεσων, κατα δε σκοτος οσσ' εκαλυψεν. 325
Ὡς τω μεν δοιοισι κασιγνητοισι δαμεντε
Βητην εις ερεβος, Σαρπηδονος εσθλοι ἑταιροι,

---

pavit porrigens, priusquam vulneraret: id est priusquam Maris Antilochum vulnerare posset. Vulgò, του· sed vide Π. 313.

323. Ωμον αφαρ. Humerum protinus: id est, lacerti partem inferiorem prope cubitum; ωμος enim, ut humerus, lacertum totum significat. Brachium humero musculis alligatur. Vide N. 529.

326. Ὡς τω. Knightius quatuor versus omittit; "tametsi id judicium e sensu animi tantùm, longâ et intimâ sermonis Homerici consuetudine edocto, protulerit."

Υἱες ακοντισται Αμισωδαρου· ὁς ῥα Χιμαιραν
Θρεψεν αμαιμακετην, πολεσιν κακον ανθρωποισιν.
Αιας δε Κλεοβουλον Οϊλιαδης εποροῦσας
Ζωον εγλε, βλαφθεντα κατα κλονον· αλλα οἱ αυθι
Λυσε μενος, πληξας ξιφει αυχενα κωπηεντι.
Παν δ' ὑπεθερμανθη ξιφος αἱματι· τον δε κατ' οσσε
Εγλαβε πορφυρεος θανατος, και μοιρα κραταιη.
Πηνελεος δε Λυκων τε συνεδραμον· εγχεσι μεν γαρ
Ημβροτον αλληλων, μελεον δ' ηκοντισαν αμφω·
Τω δ' αυτις ξιφεεσσι συνεδραμον· ενθα Λυκων μεν
Ἱπποκομου κορυθος φαλον ηλασεν, αμφι δε καυλον
Φασγανον εγραισθη· ὁ δ' ὑπ' ουατος αυχενα θεινε
Πηνελεος, παν δ' εισω εδυ ξιφος, εσχεθε δ' οιον
Δερμα· παρηερθη δε καρη, ὑπελυντο δε γυια.
Μηριονης δ' Ακαμαντα, κιχεις ποσι καρπαλιμοισι,
Νυξ', ἱππων επιβησομενον, κατα δεξιον ωμον·
Ηριπε δ' εξ οχεων, κατα δ' οφθαλμων κεχυτ' αχλυς.
Ιδομενευς δ' Ερυμαντα κατα στομα νηλεϊ χαλκῳ
Νυξε· το δ' αντικρυ δορυ χαλκεον εξεπερησε
Νερθεν ὑπ' εγκεφαλοιο· κεασσε δ' αρ οστεα λευκα·
Εκ δε τιναχθεν οδοντες· ενεπλησθεν δε οἱ αμφω
Αἱματος οφθαλμοι· το δ' ανα στομα και κατα ῥινας
Πρησε χανων· θανατου δε μελαν ῥεφος αμφεκαλυψεν.
Οὑτοι αρ ἡγεμονες Δαναων ἑλον ανδρα ἑκαστος.
Ὡς δε λυκοι ῥαρνεσσιν επεχραον, ἡ εριφοισι,
Σινται, ὑπ' εκ μηλων αἱρευμενοι, αἱ τ' εν ορεσσι

---

333. ὑπεθερμανθη ξιφος. hæsit tepefacta cerebro. Æn. ix. 419. ferrum in pulmone tepescit. Æn. ix. 701.

334. πορφυρεος θανατος. atra mors: Hesychius.

341. παρηερθη. appendebatur: a παρα, et αειρω.

350. Πρησε χανων. Flavit hians: a πρηθω· Α. 481.

358. Αιας δ' ὁ ῥεγας. Ajax verò magnus: modò alterum Ajacem memoraverat, 330. Hinc constat ῥεγας digamma postulare.

363. σαω δ' ἑριηρας ἑταῖρους. servavit verò caros comites: σαω imperfectum est a σαωμι· Φ. 238.

366. ιωχη. clamor: Vulgò, ιαχη· vide Δ. 456.

367. περαον. transierunt: In hoc loco solitam contractionem effugit, ut et πειναω, Γ. 25.

Ποιμενος αφραδιῃσι διετμαγεν· οἱ δε ϝιδοντες,
Αιψα διαρπαζουσιν αναλκιδα θυμον εχουσας·
Ὡς Δαναοι Τρωεσσιν επεχραον· οἱ δε φοβοιο
Δυσκελαδου μνησαντο, λαθοντο δε θουριδος αλκης.
Αιας δ' ὁ ϝμεγας αιεν εφ' Ἑκτορι χαλκοκορυστῃ
Γιετ' ακοντισσαι· ὁ δε ϝιδρειῃ πολεμοιο,
Ασπιδι ταυρειῃ κεκαλυμμενος ευρεας ωμους,
Σκεπτετ' οϊστων τε ϝροιζον και δουπον ακοντων.
Η μεν δη γιγνωσκε μαχης ἑτεραλκεα νικην·
Αλλα και ὡς ανεμιμνε, σαω δ' εριηρας ἑταϝρους.
Ὡς δ' ὁτ' απ' Ουλυμπου ϝνεφος ερχεται ουρανον εισω,
Αιθερος εκ διης, ὁτε κε Ζευς λαιλαπα τεινει·
Ὡς των εκ νηων γενετ' ιωχη τε φοβος τε·
Ουδε κατα ϝμοιραν περαον παλιν· Ἑκτορα δ' ἱπποι
Εκφερον ωκυποδες συν τευχεσι· λειπε δε λαον
Τρωϊκον, οὑς αϝεκοντας οϝρυκτη ταϕρος εϝρυκε.
Πολλοι δ' εν ταϕρῳ ϝερυσαρματες ωκεες ἱπποι,
Ϝαξαντ' εν πρωτῳ ϝρυμῳ, λιπον ἁρμα ϝανακτων.
Πατροκλος δ' ἑπετο σϕεδανον Δαναοισι κελευων,
Τρωσι κακα ϕρονεων· οἱ δ' ιωχῃ τε φοβῳ τε
Πασας πλησαν ὁδους, επει αρ τμαγεν· ὑψι δ' αελλα
Σκιδναθ' ὑπο ϝνεϕεων· τανυοντο δε μωνυχες ἱπποι
Αψοϝροον προτι ϝαστυ, νεων απο και κλισιαων.
Πατροκλος δ', ἡ πλειστον ορινομενον ϝιδε λαον,
Τῃ ϝρ' εχ' ὁμοκλησας· ὑπο δ' αξοσι ϕωτες επιπτον
Πρηνεες εξ οχεων, διϕροι δ' ανεκυμβαλιαζον.

---

371. Ϝαξαντ' εν πρωτῳ ϝρυμῳ, λιπον ἁρμα ϝανακτων. Frangentes in primo temone, liquerunt currum regum: Ita optimè Bentleius et Dawesius. Vulgò, ἁρματ' ανακτων. Unumquodque tamen equorum par non nisi currum suum frangeret. Lingua Latina Græcæ felicitatem non attingit. Perperam Heynius et Knightius duos versus recidunt. Vide z. 38.

373. οἱ δ' ιωχῃ τε φοβῳ τε. illi verò clamore et fugâ: MSS. οἱ δ' ιαχῃ, et, οἱ δε ιαχῃ· vide Δ. 456.

374. αελλα. procella: Ita rectè Barnesius, analogiâ postulante, et Clarkio probante, licèt MSS. omnes αελλη habeant.

379. ανεκυμβαλιαζον. evertebantur: Κυμβαλον instrumenti musici genus, quod rapidè manibus movetur.

Αντικρυ δ' ανα ταφρον υπερθορον ωκεες ιπποι,
Αμβροτοι, ους Πηληϊ Θεοι δοσαν αγλαα δωρα,
Προσσω ϝιεμενοι· επι δ' Εκτορι κεκλετο θυμος·
Ϝιετο γαρ βαλεειν· τον δ' εκφερον ωκεες ιπποι.
Ως δ' υπο λαιλαπι πασα κελαινη βεβριθε χθων
Ημαρ οπωρινον, οτε λαβροτατον χεει υδωρ
Ζευς, οτε δη ῥ' ανδρεσσι κοτεσσαμενος χαλεπηνῃ,
Οι βιῃ ειν αγορῃ σκολιας κρινωσι θεμιστας,
Εκ δε δικην ελασωσι, Θεων οπιν ουκ αλεγοντες·
Των δε τε παντες μεν ποταμοι πληθουσι ῥεοντες,
Πολλας δε κλιτυς τοτ' αποτμηγουσι χαραδραι,
Ες δ' αλα πορφυρεην ῥμεγαλα στεναχουσι ῥεουσαι
Εξ ορεων επικαρ· μινυθει δε τε ϝεργ' ανθρωπων.
Ως ιπποι Τροϊαι ῥμεγαλα στεναχοντο θεουσαι.
Πατροκλος δ', επει ουν πρωτας επεκερσε φαλαγγας,
Αψ επι νηας εεργε παλιμπετες, ουδε πολῆος
Ειᾶ ϝιεμενους επιβαινεμεν, αλλα μεσηγυ
Νηων και ποταμου και τειχεος υψηλοιο
Κτεινε μεταϊσσων, πολεων δ' απετινυτο ποινην.
Ενθ' ητοι Προνοον πρωτον βαλε δουρι φαεινῳ,
Στερνον γυμνωθεντα παρ' ασπιδα, λυσε δε γυια·
Δουπησεν δε πεσων· ὁ δε Θεστορα, Ϝηνοπος υἱον,
Δευτερον ὁρμηθεις· ὁ μεν ευξεστῳ ενι διφρῳ
Ἡστο ϝαλεις· εκ γαρ πληγη φρενας, εκ δ' αρα χειρων

---

384. Ὡς δ' ὑπο λαιλαπι πασα.

Sæpe etiam immensum cœlo venit agmen aquarum,
Et fœdam glomerant tempestatem imbribus atris
Collectæ ex alto nubes; ruit arduus æther,
Et pluviâ ingenti sata læta, boumque labores
Diluit; implentur fossæ, et cava flumina crescunt
Cum sonitu, fervetque fretis spirantibus æquor. Georgic. i. 322.

385. Ημαρ οπωρινον. Per diem Autumnalem: Duratio temporis rectè in accusativo ponitur; ita A. 592, 601, et vide Φ. 111. Vulgò, Ηματ' οπωρινῳ sed dativus in ι rarò eliditur; Δ. 259. MS. quidem unus, Ηματι χειμερίῃ habet, et ita M. 279.

388. Θεων οπιν ουκ αλεγοντες. Deorum reverentiam non respicientes: Ita ωπιζετο, Σ. 216.

390. κλιτυς. montis devexitates: Vox iterum occurrit, Od. ε. 470.

Ἥνια οἱ ηϊχθεν· ὁ δ' ἐγχεϊ νύξε παραστας
Γναθμον δεξιτερον, δια δ' αὐτου πειρεν ὀδοντων· 405
Ἕλκε δε δουρος ἐφλων ὑπερ αὐτυγος· ὡς ὁτε τις φως,
Πετρῃ ἐπι προβλητι καθημενος, ἱερον ἰχθυν
Ἐκ ποντοιο θυραζε λινῳ και ῥηνοπι χαλκῳ·
Ὡς ἑλκ' ἐκ διφροιο κεχηνοτα δουρι φαεινῳ· 409
Καδδ' ἀρ ἐπι στομα ῥ' ὡσε· πεσοντα δε μιν λιπε θυμος.
Αὐταρ ἐπειτ' Ἐρυαλον ἐπερσυμενον βαλε πετρῳ
Μεσσην κακκεφαλην· ἡ δ' ἀνδιχα πασα κεασθη
Ἐν κορυθι βριαρῃ· ὁ δ' ἀρα πρηνης ἐπι γαιῃ
Καππεσεν· ἀμφι δε μιν θανατος χυτο θυμοῤῥαϊστης.
Αὐταρ ἐπειτ' Ἐρυμαντα, και Ἀμφοτερον, και Ἐπαλτην,
Τληπολεμον τε Δαμαστοριδην, Ἐχιον τε, Πυρην τε,
Ἰφεα τ', Εὐϊππον τε, και Ἀργεαδην Πολυμηλον,
Παντας ἐπασσυτερους πελασε χθονι πουλυβοτειρῃ.
Σαρπηδων δ' ὡς ουν ἰδ' ἀμιτροχιτωνας ἑταιρους
Πατροκλου ὑπο χερσι Μενοιτιαδαο δαμεντας, 420
Κεκλετ' ἀρ ἀντιθεοισι καθαπτομενος Λυκιοισιν·
Αἰδως, ω Λυκιοι, ποσε φευγετε; νυν θοοι ἐστε·
Ἀντησω γαρ ἐγω τουδ' ἀνερος, ὁῤῥα δαειω,
Ὅς τις ὁδε κρατεει· και δη κακα πολλα ἐεῤῥγε
Τρωας· ἐπει πολλων τε και ἐσθλων γουνατ' ἐλυσεν. 425
Ἡ ῥα, και ἐξ ὀχεων συν τευχεσιν αλτο χαμαζε.
Πατροκλος δ' ἑτερωθεν, ἐπει ἰδεν, ἐκθορε διφρου.

---

392. ἐπικαρ. præceps: ἐπι καρηαρ. MSS. unâ voce exhibent. Ita ἐπικαρσιαι, Od. ι. 70.

401. Ἐνοπος. Enopis: Knightius Ἑοινοπος edidit; vide Ξ. 445.

403. ἑλεις. convolutus: a ἑειλεω· Ε. 823.

404. Ἥνια οἱ ηϊχθεν. Lora ei ruerunt: Vulgò, Ἥνια ηϊχθησαν, contra metrum. Malè Knightius, ἡνι' εαϊχθησαν.

406. ἑλκε. traxit: Ita Aristarchus et Heynius; alii, εἱλκε.

410. Καδδ' ἀρ ἐπι στομα ῥ'ωσε. Deorsum verò in os eum trusit: Vulgò, ἐπι στομ' ἐωσε, quod pro ἐπι στομ' ἑ ωσε poni videtur.

419. ἀμιτροχιτωνας. qui tunicam mitrâ non cohibebant: Hesychius. Idem tamen, Ἀμιτρα, μικρα, Κρητες, habet.

420. Πατροκλου ὑπο χερσι. Patrocli sub manibus: Ita Π. 699, Λ. 180; vulgò, Χερσ' ὑπο Πατροκλοιο· sed dativi plurales breves rarò eliduntur.

425. Τρωας. Knightius versum damnat.

Οἱ δ' ὡς τ' αἰγυπιοι γαμψωνυχες, αγκυλοχειλαι,
Πετρῃ εφ' ὑψηλῃ ϝμεγαλα κλαζοντε μαχονται·
Ὡς οἱ κεκληγοντες επ' αλληλοισιν ορουσαν.
Τους δε ϝιδων ελεησε Κρονου παις αγκυλομητεω,
Ἡρην δε προσεφειπε κασιγνητην αλοχον τε.
Ω μοι εγων, ὅτε μοι Σαρπηδονα, φιλτατον ανδρων,
Ϝμοιρ' ὑπο Πατροκλοιο Μενοιταδαο δαμηναι.
Διχθα δε μοι κραδιη μεμονε, φρεσιν ὁρμαινοντι,
Η μιν ζωον εοντα μαχης απο δακρυοεσσης
Θειω αναρπαξας Λυκιης ενι πιονι δημῳ,
Η ηδη ὑπο χερσι Μενοιτιαδαο δαμασσω.
Τον δ' ημειβετ' επειτα βοωπις ποτνιας Ἡρη·
Αινοτατε Κρονιδη, ποιον τον μυθον εϝειπες;
Ανδρα θνητον εοντα, παλαι πεπρωμενον αισῃ,
Αψ εθελεις θανατοιο δυσηχεος εξαναλυσαι;
Ϝερδ'· αϝαρ ου τοι παντες επαινεομεν Θεοι αλλοι.
Αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῃσιν·
Αι κε ζωον εοντα ϝε πεμψῃς ϝονδε δομονδε,
Φραζεο, μη τις επειτα Θεων εθελησι και αλλος
Πεμπειν ϝον φιλον υἱον απο κρατερης ὑσμινης·
Πολλοι γαρ περι ϝαστυ ϝμεγα Πριαμοιο μαχονται
Ὑϊες αθανατων, τοισιν κοτον αινον ενησεις.
Αλλ' ει τοι φιλος εστι, τεον δ' ολοφυρεται ητορ,
Ητοι μεν μιν εϝασον ενι κρατερῃ ὑσμινῃ
Πατροκλου ὑπο χερσι Μενοιτιαδαο δαμηναι·
Αυταρ επει δῃ τονγε λιπῃ ψυχη τε και αιων,
Πεμπειν μιν Θανατον τε ϝερειν, και ϝηδυμον Ὑπνον,
Εισοκε δῃ Λυκιης ευρειης δημον ἱκωνται·

---

432. Ἡρην δε. Zenodotus, Knightio probante, versus septem et viginti damnat. Mihi tamen aptè ad mortem Sarpedonis illustrandam interpositi videntur, et Homericos esse judico.

445. Αι κε ζωον εοντα ϝε πεμψῃς. Si tum vivum eum mittas: Vulgò, Αι κε ζωον πεμψῃς Σαρπηδονα, syllabâ ultra metrum abundante. Σαρπηδονα, glossa superscripta, in textum irrepsit, et εοντα extrusit. Π. 436, 441. Perperam Heynius ζων edidit.

453. επει δη. postquam: Vulgò, επην δη.

Ενθα ϝε ταρχυσουσι κασιγνητοι τε ϝεται τε
Τυμβῳ τε στηλῃ τε· το γαρ γερας εστι θανοντων.
Ὡς εφατ'· ουδ' απιθησε πατηρ ανδρων τε Θεων τε·
Αἱματοεσσας δε ψιαδας κατεχευεν εραζε,
Παιδα φιλον τιμῶν, τον ϝοι Πατροκλος εμελλε
Φθισειν εν Τροϊῃ εριβωλακι, τηλοθι πατρης.
Οἱ δ' ὁτε δη σχεδον ησαν επ' αλληλοισιν ιοντες,
Ενθ' ητοι Πατροκλος μεν αγακλεϊτον Θρασυμηδην,
Ὃς ϝρ' ηϋς θεραπων Σαρπηδονος ηε ϝανακτος,
Τον βαλε νειαιραν κατα γαστερα, λυσε δε γυια.
Σαρπηδων δ' αυτου μεν απημβροτε δουρι φαεινῳ,
Δευτερος ὁρμηθεις· ὁ δε Πηδασον ουτασεν ἱππον
Εγχεϊ δεξιον ωμον· ὁ δ' εβραχε θυμον αϊσθων·
Καδδ' επεσ' εν κονιηθι μακων, απο δ' επτατο θυμος·
Τω δε διαστητην· κρικε δε ζυγον, ἡνια δε σφι
Συγχυτ', επει δη κειτο παρηορος εν κονιηθι.
Τοιο μεν Αυτομεδων δουρικλυτος εὑρετο τεκμωρ,
Σπασσαμενος τανυηκες αορ παχεος παρα μηρου,
Αἶξας απεκοψε παρηορον, ουδ' εματησε·
Τω δ' ἰθυνθητην, εν δε ϝρυτηρσι τανυσθεν.
Τω δ' αυτις συνιτην εριδος περι θυμοβοροιο.
Ενθ' αυ Σαρπηδων μεν απημβροτε δουρι φαεινῳ,
Πατροκλου δ' ὑπερ ωμον αριστερον ηλυθ' ακωκη
Εγχεος, ουδ' εβαλ' αυτον· ὁ δ' ὑστερος ωρνυτο χαλκῳ
Πατροκλος· του δ' ουχ ἁλιον βελος εκφυγε χειρος,
Αλλ' εβαλ', ενθ' αρα τε φρενες ερχαται αμφ' αδινον κηρ·
Ηριπε δ', ὡς ὁτε τις δρυς ηριπεν, η αχερωϊς,
Ηε πιτυς βλωθρη, την τ' ουρεσι τεκτονες ανδρες

---

469. μακων. stridens: βοησας, Hesychius. Equus moriens sonum acutissimum edit. Vox ter in Odysseâ occurrit.

470. κρικε δε ζυγον. crepuit verò jugum: verbum e sono confictum.

481. ενθ' αρα τε φρενες ερχαται. ubi sanè etiam diaphragma sepitur circum spissum cor: Forsitan, ενθα φρενες περχαται· postulantur enim εερχατο, Od. κ. 241, ξ. 73, εεργμεναι, Ε. 89, et περξαν, Od. ξ. 411; et εεργω forma est usitata; Β. 617. Leguntur tamen, ερχατο, Ρ. 354, Od. ι. 221, κ. 283, et, Ερχθεντα, Φ. 282; et ἑρκος vox est cognata. Vide etiam Ρ. 571, Ψ. 72.

Εξεταμον πελεκεσσι νεηκεσι, νηϊον ειναι·
Ὡς ὁ προσθ' ἱππων και διφρου κειτο τανυσθεις,
Βεβρυχως, κονιος δεδραγμενος αἱματοεσσης.
Ηὔτε ταυρον επεφνε λεων αγεληθι μετελθων,
Αιθωνα, μεγαθυμον εν ειλιποδεσσι βοεσσιν,
Ωλετο τε στεναχων ὑπο γαμφηλῃσι λεοντος·
Ὡς ὑπο Πατροκλῳ Λυκιων αγος ασπισταων
Κτεινομενος μενεαινε, φιλον δ' ονομηνεν ἑταιρον·
Γλαυκε πεπον, πολεμιστα μετ' ανδρασι, νυν σε μαλα χρη
Αιχμητην τ' εμεναι, και θαρσαλεον πολεμιστην·
Νυν τοι εφελδεσθω πολεμος κακος, ει θοος εσσι.
Πρωτα μεν οτρυνον Λυκιων ἡγητορας ανδρας,
Παντη εποιχομενος, Σαρπηδονος αμφιμαχεσθαι·
Αυταρ επειτα και αυτος εμευ περι μαρναο χαλκῳ.
Σοι γαρ εγω και επειτα κατηφειη και ονειδος
Εσσομαι ηματα παντα διαμπερες, ει κε μ' Αχαιοι
Τευχεα συλησωσι, νεων εν αγωνι πεσοντα.
Αλλ' εχεο κρατερως, οτρυνε δε λαον ἁπαντα.
Ὡς αρα μιν φειποντα τελος θανατοιο καλυψεν
Οφθαλμους φρινας θ'· ὁ δε λαξ εν στηθεσι βαινων,
Εκ χροος ἑλκε δορυ, προτι δε φρενες αυτῳ ἑποντο·
Τοιο δ' ἁμα ψυχην τε, και εγχεος εκφερυσ' αιχμην.
Μυρμιδονες δ' αυτου σχεθον ἱππους φυσιοωντας,
Φιεμενους φοβεεσθαι, επει λιπον ἁρμα φανακτες.
Γλαυκῳ δ' αινον αχος γενετο φθογγης αϊοντι·
Ωριν θη δε φοι ητορ, ὁτ' ου δυνατο προσαμυναι.
Χειρι δ' εφλων επιεζε βραχιονα· τειρε γαρ αινως
Ἑλκος, ὁ δη μιν Τευκρος επεφνεν βαλεν ιῳ

---

505. Τοιο δε. Knightius, servato 508, quindecim versus damnat. Nec, ψυχην εκφερυσε, nec, Φιεμενους φοβεεσθαι, dici posse censet.

507. επει λιπον ἁρμα φανακτες. postquam reliquerant currum rectores: Bentleius, ἁρμα, et Jortinus, ανακτε· vulgò, ἁρματ' ανακτων.

515. ακουειν Ανερι. auscultare Viro: Verba audiendi in opitulandi sensu dativum admittunt; Π. 531, Ε. 115, Ω. 335. Sic, auscultem seni; Ter. Andr. 1. 3. 4.

521. ανηρ δ' ὁς αριστος ολωλε. vir verò qui optimus periit: Ita Codex Harleianus; vulgò, ωριστος. Knightius, οχ' αριστος, edidit; vide Α. 288.

Τειχεος ὑψηλοιο, ϝαρην ἑταϝροισιν αμυνων.
Ευχομενος δ' αρα ϝειπεν ἑκηβολῳ Απολλωνι·
Κλυθι, ϝαναξ, ὁς που Λυκιης εν πιονι δημῳ
Εις, η ενι Τροϊῃ· δυνασαι δε συ παντοσ' ακουειν
Ανερι κηδομενῳ, ὡς νυν εμε κηδος ἱκανει.
Ἑλκος μεν γαρ εχω τοδε καρτερον, αμφι δε μοι χειρ
Οξειῃς οδυνῃσιν εληλαται, ουδε μοι αἱμα
Τερσηναι δυναται· βαρυθει δε μοι ωμος ὑπ' αυτου·
Εγχος δ' ου δυναμαι σχειν εμπεδον, ουδε μαχεσθαι
Ελθων δυσμενεεσσιν· ανηρ δ' ὁς αριστος ολωλε,
Σαρπηδων, Διος υἱος· ὁ δ' ου ϝῳ παιδιν αμυνει.
Αλλα συ περ με, ϝαναξ, τοδε καρτερον ἑλκος ακεσσαι,
Κοιμησον δ' οδυνας, δος δε κρατος, ὁϝρ' ἑταϝροισι
Κεκλομενος Λυκιοισιν εποτρυνω πολεμιζειν,
Αυτος τ' αμφι νεκυν κατατεθνειωτα μαχωμαι.
Ὡς εφατ' ευχομενος· του δ' εκλυε Φοιβος Απολλων·
Αυτικα παυσ' οδυνας, απο δ' ἑλκεος αργαλεοιο
Αἱμα μελαν τερσηνε, μενος δε οι εμβαλε θυμῳ.
Γλαυκος δ' εγνω ϝῃσιν ενι ϕρεσι, γηθησεν τε,
Ὁϝρα οι ωκ' ηκουσε ϝμεγας Θεος ευξαμενωθι.
Πρωτα μεν ωτρυνεν Λυκιων ἡγητορας ανδρας,
Παντη εποιχομενος, Σαρπηδονος αμϕιμαχεσθαι.
Αυταρ επειτα μετα Τρωας κιε, μακρα βιβασθων,
Πουλυδαμαντ' επι Πανθοϊδην, και Αγηνορα διον·
Βη δε μετ' Αινειαν τε, και Ἕκτορα χαλκοκορυστην,
Αγχοθι δ' ἱσταμενος ϝεπεα πτεροεντα προσηυδα·
Ἕκτορ, νυν δη παγχυ λελασμενος εις επικουρων,
Οἱ σεθεν εἱνεκα, τηλε ϕιλων και πατριδος αιης,

---

522. ὁ δ' ου ϝῳ παιδιν αμυνει. ille verò non suo filio opitulatur; vide A. 578. Schol. οὐ παιδὸς· sed vide Λ. 588. Vulgò, ουδ' ᾧ.

523. Αλλα συ περ με, ϝαναξ. At tu tamen me, rex: Sic, Αινειαν ακεοντο, E. 448, et Homerus duplici accusativo gaudet. Vulgò, μοι· emendârunt Bentleius et Dawesius.

526. αμφι νεκυν. circum cadaver: Ita MS. unus. Vulgò, αμφι νεκυϊ· sed αμφι passim accusativum regit, ut Π. 601. Sic Π. 565.

531. ευξαμενωθι. precanti: Sic, ἑτερωθι, E. 351. Vulgò, ευξαμενοιο· sed vide Π. 515, A. 208, B. 418, 625. Vulgò, Ὁττι· A. 294.

Θυμον αποφθινυθουσι· συ δ' ουκ εθελεις επαμυνειν.
Κειται Σαρπηδων, Λυκιων αγος ασπισταων,
Ὃς Λυκιην ερυτο δικῃσι τε και σθενεϊ ῳ·
Τον δ' ὑπο Πατροκλῳ δαμασ' εγχεϊ χαλκεος Αρης.
Αλλα, φιλοι, παρστητε, νεμεσσηθητε δε θυμῳ,
Μη απο τευχε' εϝλωνται, αρειικισσωσι δε νεκρον
Μυρμιδονες, Δαναων κεχολωμενοι, ὁσσοι ολοντο,
Τους επι νηυσι θοῃσιν επεφνομεν εγχειῃσιν.
Ὡς εφατο· Τρωας δε κατακρηθεν ϝλαβε πενθος
Ασχετον, ουκ επιϝικτον, επει σφισιν ἑρμα πολῃος
Εσκε, και αλλοδαπος περ εων· πολεες γαρ ἁμ' αυτῳ
Λαοι ἑπονθ', εν δ' αυτος αριστευεσκε μαχεσθαι.
Βαν δ' ἰθυς Δαναων λελιημενοι· ηρχε δ' αρα σφιν
Ἕκτωρ, χωομενος Σαρπηδονος· αυταρ Αχαιους
Ὧρσε Μενοιτιαδαο Πατροκλεος λασιον κῆρ·
Αιαντε πρωτω προσεφη, μεμαωτε και αυτω·
Αιαντε, νυν σφωϊν αμυνεσθαι φιλον εστω,
Οἷοι περ παρος ητε μετ' ανδρασιν, η και αρειους.
Κειται ανηρ, ὁς πρωτος εσηλατο τειχος Αχαιων,
Σαρπηδων· αλλ' ει μιν αρειικισσαιμεθ' εϝλοντες,
Τευχεα τ' ωμοιϊν απεϝλοιμεθα, και τιν' ἑταϝρων
Αυτου αμυνομενων δαμασαιμεθα νηλεϊ χαλκῳ.
Ὡς εφαθ'· οἱ δε και αυτοι αλεξασθαι μενεαινον.
Οἱ δ' επει αμφοτερωθεν εκαρτυναντο φαλαγγας,
Τρωες και Λυκιοι, και Μυρμιδονες και Αχαιοι,
Συμβαλον αμφι νεκυν κατατεθνειωτα μαχεσθαι,
Δεινον αϋσαντες· ϝμεγα δ' εβραχε τευχεα φωτων.
Ζευς δ' επι νυκτ' ολοην τανυσε κρατερῃ ὑσμινῃ,
Ὁϝρα φιλῳ περι παιδι μαχης ολοος πονος ειη.
Ωσαν δε προτεροι Τρωες ϝελικωπας Αχαιους·
Βλητο γαρ ουτι κακιστος ανηρ μετα Μυρμιδονεσσιν,

---

554. Μενοιτιαδαο. MS. unus Μενοιτιαδεω habet.
548. κατακρηθεν. a vertice: adverbium ab ablativo antiquo formatum; A. 208. Ita, κατακρης, N. 772.

Υἱος Αγακλεεος μεγαθυμου, διος Επειγευς,
Ὃς ῥ' εν Βουδειῳ ευναιομενῳ εφανασσε
Το πριν· αφαρ τοτε γ' εσθλον ανεψιον εξεναριξας
Ες Πηλη' ἱκετευσε, και ες Θετιν αργυροπεζαν·
Οἱ δ' ἁμ' Αχιλληϊ ῥηξηνορι πεμπον ἑπεσθαι
Γιλιον εις ευπωλον, ἱνα Τρωεσσι μαχοιτο.
Τον ῥα τοθ' ἁπτομενον νεκυος βαλε φαιδιμος Ἑκτωρ
Χερμαδιῳ κεφαλην· ἡ δ' ανδιχα πασα κεασθη
Εν κορυθι βριαρῃ· ὁ δ' αρα πρηνης επι νεκρῳ
Καππεσεν, αμφι δε μιν θανατος χυτο θυμοῤῥαϊστης.
Πατροκλῳ δ' αρ αχος γενετο φθιμενου ἑταῤῥοιο·
Ιθυσεν δε δια προμαχων, ιρηκι ϝοικως
Ωκειϊν, ὃς τ' εφοβησε κολοιους τε ψηρας τε·
Ὡς ιθυς Λυκιων, Πατροκλεες ἱπποκελευθε,
Εῤῥυο, και Τρωων· κεχολωσο δε κῆρ ἑταῤῥοιο.
Και ῥ' εβαλε Σθενελαον, Ιθαιμενεος φιλον υἱον,
Αυχενα χερμαδιῳ, ῥηξεν δ' απο τοιο τενοντας.
Χωρησαν δ' ὑπο τε προμαχοι και φαιδιμος Ἑκτωρ.
Ὁσση δ' αιγανεης ῥιπη ταναοιο τετυκται,
Ἣν ῥα τ' ανηρ αφεῃ πειρωμενος η εν αεθλῳ,
Ηε και εν πολεμῳ, δαϊων ὑπο θυμοῤῥαϊστεων·
Τοσσον εχωρησαν Τρωες, ωσαντο δ' Αχαιοι.
Γλαυκος δε πρωτος, Λυκιων αγος ασπισταων,
Ετραπετ', εκτεινεν δε Βαθυκλεεα μεγαθυμον,
Χαλκωνος φιλον υἱον, ὃς Ἑλλαδι ϝοικια ναιων,
Ολβῳ τε πλουτῳ τε μετεπρεπε Μυρμιδονεσσι.
Τον μεν αρα Γλαυκος στηθος μεσον ουτασε δουρι,
Στρεφθεις εξαπινης, ὁτε μιν κατεμαρπτε διωκων·
Δουπησεν δε πεσων· πυκινον δ' αχος εϝλαβ' Αχαιους,
Ὡς επεσ' εσθλος ανηρ, μεγα δε Τρωες κεχαροντο·
Σταν δ' αμφ' αυτον ιοντες αολλεες· ουδ' αρ Αχαιοι

---

555. Αιαντε. Knightius versus quatuordecim damnat, ut et 542, 588, 613, 614, 615.

Αλκης εξελαθοντο, μενος δ' ιθυς φερον αυτων.
Ενθ' αυ Μηριονης Τρωων γελεν ανδρα κορυστην
Λαογονον, θρασυν υἱον Ονητορος, ὁς Διος ἱρευς
Ιδαιου ετετυκτο, Θεος δ' ὡς τιετο δημῳ· 605
Τον βαλ' ὑπο γναθμοιο και ουατος· ωκα δε θυμος
Ωχετ' απο μελεων, στυγερος δ' αρα μιν σκοτος εἑλεν.
Αινειας δ' επι Μηριονῃ δορυ χαλκεον ἡκεν·
Γελπετο γαρ τευξεσθαι ὑπασπιδια προβιβῶντος·
Αλλ' ὁ μεν αντα ἰδων ηλευατο χαλκεον εγχος· 610
Προσσω γαρ κατεκυψε, το δ' εξοπιθεν δορυ μακρον
Ουδει ενισκιμφθη, επι δ' ουριαχος πελεμιχθη
Εγχεος· ενθαδ' επειτ' αφιει μενος οβριμος Αρης·
Αιχμη δ' Αινειαο κραδαινομενη κατα γαιης
Ωιχετ', επει ῥ' ἁλιον στιβαρης απο χειρος ορουσεν. 615
Αινειας δ' αρα θυμον εχωσατο, φωνησεν τε·
Μηριονη, ταχα κεν σε, και ορχηστην περ εοντα,
Εγχος εμον κατεπαυσε διαμπερες, ει σ' εβαλον περ.
Τον δ' αυ Μηριονης δουρικλυτος αντιον ηυδα·
Αινεια, χαλεπον σε, και ιφθιμον περ εοντα, 620
Παντων ανθρωπων σβεσσαι μενος, ὁς κε σευ αυτα
Ελθῃ αμυνομενος· θνητος δε νυ και συ τετυξαι.
Ει και εγω σε βαλοιμι τυχων μεσον οξεϊ χαλκῳ,
Αιψα κε, και κρατερος περ εων και χερσι πεποιθως,
Ευχος εμοι δωῃς, ψυχην δ' Αιδι κλυτοπωλῳ. 625
Ὡς φατο· τον δ' ενενιπτε Μενοιτιου αλκιμος υἱος·
Μηριονη, τι συ ταυτα, και εσθλος εων, αγορευεις;
Ω πεπον, ουτι Τρωες ονειδειοις επεεσσι
Νεκρου χωρησουσι, παρος τινα γαια καθεξει·
Εν γαρ χερσι τελος πολεμου, επεων δ' ενι βουλῃ· 630
Τῳ ουτι χρη μυθον οφελλειν, αλλα μαχεσθαι.
Ὡς ειπων, ὁ μεν ηρχ', ὁ δ' ἁμ' ἑσπετο φισοθεος φως.

---

636. βοων τε. scutorumque: Sic, τευκτῃσι βοεσσι, M. 105, 137. Aristarchus aliique nexum omittunt.

Των δ' ὡς τε δρυτομων ανδρων ορυμαγδος ορωρεν
Ουρεος εν βησσῃς, ἑκαθεν δε τε γινετ' ακουη·
Ὡς των ωρνυτο δουπος απο χθονος ευρυοδειης,
Χαλκου τε, ῥινου τε, βοων τ' ευποιηταων,
Νυσσομενων ξιφεσιν τε και εγχεσιν αμφιγυοισιν.
Ουδε κ' ετι φραδμων περ ανηρ Σαρπηδονα διον
Εγνω, επει βελεεσσι, και αἱματι, και κονιηθιν,
Εκ κεφαλης ῥειλυτο διαμπερες ες ποδας ακρους.
Οἱ δ' αιει περι νεκρον ὁμιλεον, ὡς ὁτε μυιαι
Σταθμῳ ενι βρομεωσι περιγλαγεας κατα πελλας,
Ὡρῃ ῥειαρινῃ, ὁτε κε γλαγος αγγεα δευει·
Ὡς αρα τοι περι νεκρον ὁμιλεον· ουδε ποτε Ζευς
Τρεψεν απο κρατερης ὑσμινης οσσε φαεινω,
Αλλα κατ' αυτους αιεν ὁρα, και φραζετο θυμῳ
Πολλα μαλ' αμφι φονῳ Πατροκλου, μερμηριζων,
Η ηδη και κεινον ενι κρατερῃ ὑσμινῃ
Αυτοθ' επ' αντιθεῳ Σαρπηδονι φαιδιμος Ἑκτωρ
Χαλκῳ δαιωσῃ, απο τ' ωμων τευχε' εἑληται,
Η ετι και πλεονεσσιν οφελλειεν πονον αιπυν.
Ὡδε δε οἱ φρονεοντι δοασσατο κερδιον ειναι,
Ὁῥ' ηὺς θεραπων Πηληϊαδεω Αχιληος
Εξαυτις Τρωας τε και Ἑκτορα χαλκοκορυστην
Ωσαιτο προτι ῥαστυ, πολεων δ' απο θυμον ἑλοιτο.
Ἑκτορι δε πρωτιστῳ αναλκιδα θυμον ενωρσεν·
Ες διφρον δ' αναβας φυγαδ' ετραπε, κεκλετο δ' αλλους
Τρωας φευγεμεναι· γνω γαρ Διος ἱρα ταλαντα.
Ενθ' ουδ' ιφθιμοι Λυκιοι μενον, αλλ' εφοβηθεν
Παντες, επει βασιληα ῥιδον βεβλημενον ητορ,
Κειμενον εν νεκυων αγυρει· πολεες γαρ επ' αυτῳ
Καππεσον, ευτ' εριδα κρατερην ετανυσσε Κρονιων.
Οἱ δ' αρ απ' ωμοιϊν Σαρπηδονος εντε' ἑλοντο,

---

643. Ὡρῃ ῥειαρινῃ. Tempore verno: Vulgò, Ὡρῃ εν ειαρινῃ· vide B. 471.
660. βεβλημενον. percussum: Alii, βεβλαμμενον.

Χαλκεα, μαρμαιροντα, τα μεν κοιλας επι νηας
Δωκε φερειν ἑταιροισι Μενοιτιου αλκιμος υἱος.
Και τοτ' Απολλωνα προσεφη νεφεληγερετα Ζευς·
Ειδ' αγε νυν, φιλε Φοιβε, κελαινεφες αἱμα καθηρον,
Ἑλκων εκ βελεων Σαρπηδονα, και μιν επειτα,
Πολλον απο προφερων, λοεσον ποταμοιο ῥοῃσι,
Χρισον δ' αμβροσιῃ, περι δ' αμβροτα ειματα εεσσον·
Πεμπε δε μιν πομποισιν ἁμα κραιπνοισι φερεσθαι,
Ὑπνῳ και Θανατῳ διδυμαοσιν, οἱ ῥα μιν ωκα
Θησουσιν Λυκιης ευρειης πιονι δημῳ·
Ενθα ε ταρχυσουσι κασιγνητοι τε εται τε
Τυμβῳ τε στηλῃ τε· το γαρ γερας εστι θανοντων.
Ὡς εφατ'· ουδ' αρα πατρος ανηκουστησεν Απολλων·
Βη δε κατ' Ιδαιων ορεων ες φυλοπιν αινην·
Αυτικα δ' εκ βελεων Σαρπηδονα διον αειρας,
Πολλον απο προφερων, λοεσεν ποταμοιο ῥοῃσι,
Χρισεν δ' αμβροσιῃ, περι δ' αμβροτα ειματα εεσσε·
Πεμπε δε μιν πομποισιν ἁμα κραιπνοισι φερεσθαι,
Ὑπνῳ και Θανατῳ διδυμαοσιν· οἱ ῥα μιν ωκα
Κατθεσαν εν Λυκιης ευρειης πιονι δημῳ.
Πατροκλος δ' ἱπποισι και Αυτομεδοντι κελευσας,
Τρωας και Λυκιους μετεκιαθε, και ῥμεγ' αϝασθη,
Νηπιος· ει δε εεπος Πηληϊαδαο φυλαξεν,
Η κεν ὑπεκφυγε κηρα κακην μελανος θανατοιο.
Αλλ' αιει τε Διος κρεισσων νοος, ηε περ ανδρων,
Ὅς τε και αλκιμον ανδρα φοβεῖ, και απεῤλετο νικην

---

664. Χαλκεα. Knightius cum Zenodoto versus viginti damnat.

667. κελαινεφες αἱμα καθηρον. nigrum sanguinem purga: Præstaret forsitan, κιων ες φυλοπιν αινην, Αυτικα δ' εκ βελεων Σαρπηδονα διον αειρας, ut Π. 677, 678.

668. Ἑλκων εκ βελεων Σαρπηδονα. Trahens e telis Sarpedonem: Ita Bentleius; vulgò, Ελθων· sed sententia regimine eget.

675. το γαρ γερας. qui solus honos Acheronte sub imo est. Æn. xi. 23.

685. και ῥμεγ' αϝασθη. et valde erravit: id est, magno cum suo malo.

688. Αλλ' αιει τε. Sed semper Jovis superior est mens, quam hominum: Homerus omnia seu bona seu mala a Deo oriri docet; vita humana in ejus manibus est, seu servare, seu finire velit.

Γρηϊδιως, ὁτε δ' αυτος εποτρυνησι μαχεσθαι·
Ὡς ϝοι και τοτε θυμον ενι στηθεσσιν ανηκεν.
Ενθα τινα πρωτον, τινα δ' ὑστατον εξεναριξας,
Πατροκλεες, ὁτε δη σε Θεοι θανατονδε καλεσσαν;
Αδρηστον μεν πρωτα, και Αυτονοον, και Εχεκλον,
Και Περιμον Μεγαδην, και Επιστορα, και Μελανιππον·
Αυταρ επειτ' Ελασον, και Μουλιον, ηδε Πυλαρτην·
Τους ϝελεν· οἱ δ' αλλοι φυγαδ' εμναοντο ϝεκαστος.
Ενθα κεν ὑψιπυλον Τροϊην ϝελον υἱες Αχαιων,
Πατροκλου ὑπο χερσι, περι προ γαρ εγχει θυεν·
Ει μη Απολλων Φοιβος εὐδμητου επι πυργου
Εστη, τῳ ολοα φρονεων, Τρωεσσι δ' αρηγων.
Τρις μεν επ' αγκωνος βη τειχεος ὑψηλοιο
Πατροκλος, τρις δ' αυτον απεστυφελιξεν Απολλων,
Χειρεσιν αθανατῃσι φαεινην ασπιδα νυσσων·
Αλλ', ὁτε δη το τεταρτον επεϝσυτο, δαιμονις ισος,
Δεινα δ' ὁμοκλησας προσεφη ἑκαϝεργος Απολλων·
Χαζεο, Διογενες Πατροκλεες· ου νυ τοι αισα
Σῳ ὑπο δουρι πολιν περθαι Τρωων αγερωχων,
Ουδ' ὑπ' Αχιλληος, ὁς περ σεο πολλον αμεινων.
Ὡς φατο· Πατροκλος δ' ανεχαζετο πολλον οπισσω,
Μηνιν αλευομενος ἑκατηβολου Απολλωνος.
Ἑκτωρ δ' εν Σκαιῃσι πυλῃς εχε μωνυχας ἱππους·
Διζε γαρ, ηε μαχοιτο κατα κλονον αυτις ελασσας,
Η λαους ες τειχος ὁμοκλησειε ϝαληναι.
Ταυτ' αρα οἱ φρονεοντι παριστατο Φοιβος Απολλων,

---

698. Ενθα. Knightius versus quatuordecim damnat, quia Patroclus nondum ad mœnia accesserat.

702. αγκωνος. anguli muri: αγκων, cubitus.

704. Χειρεσιν. Manibus scutum pellens: Ægidem quidem tulit, o. 361; manibus tamen solis usus est. Notandum est Deum nullum Patroclo opem ferre.

708. περθαι. destrui: pro πεπερθαι, a περθω, ut δεχθαι pro δεδεχθαι.

714. ὁμοκλησειε. insimul clamaret: jam sensum proprium obtinet. ϝαληναι, cogi, a ϝειλεω, E. 823.

Ανερι ϝεισαμενος αιζηῳ τε κρατερῳ τε,
Ασιῳ, ὁς μητρως ην Ἕκτορος ἱπποδαμοιο,
Αυτοκασιγνητος Ἑκαβης, υἱος δε Δυμαντος,
Ὁς Φρυγιην ναιεσκε ϝροῃς επι Σαγγαριοιο·
Τῳ μιν ϝεισαμενος προσεφωνεε Φοιβος Απολλων·
Ἕκτορ, τιπτε μαχης αποπαυεαι; ουδε τι σε χρη.
Αιθ' ὁσον ἡσσων ειμι, τοσον σεο φερτερος ειην·
Τῳ κε ταχα στυγερως πολεμου απεϝρωησειας.
Αλλ' αγε, Πατροκλῳ εφεπε κρατερωνυχας ἱππους,
Αι κεν πως μιν εϝλῃς, δωῃ δε τοι ευχος Απολλων.
Ὡς ϝειπων, ὁ μεν αυτις εβη Θεος αμπονον ανδρων·
Κεβριονῃ δ' εκελευσε δαϊφρονι φαιδιμος Ἕκτωρ
Ἱππους ες πολεμον πεπληγεμεν· αυταρ Απολλων
Δυσαθ' ὁμιλον ιων· εν δε κλονον Αργειοισιν
Ἡκε κακον, Τρωσιν δε και Ἕκτορι κυδος οπαζεν.
Ἕκτωρ δ' αλλους μεν Δαναους εϝα, ουδ' εναριζεν·
Αυταρ ὁ Πατροκλῳ επεχε κρατερωνυχας ἱππους.
Πατροκλος δ' ἑτερωθεν αϕ' ἱππων αλτο χαμαζε,
Σκαιηθ' εγχος εχων· ἑτερηθι δε λαζετο πετρον
Μαρμαρον, οκριοεντα, τον αρ περι χειρ εκαλυψεν.
Ἡκε δ' ερεισαμενος· ουδε δην χαζετο φωτος,
Ουδ' ἁλιωσε βελος· βαλε δ' Ἕκτορος ἡνιοχηα
Κεβριονην, νοθον υἱον αγακλεεος Πριαμοιο,
Ἱππων ἡνι' εχοντα, μετωπιον οξεϊ λαϊ·
Αμϕοτερας δ' οϕρυς συνεϕλεν λιθος, ουδε ϝοι εσχεν
Οστεον· οϕθαλμοι δε χαμαι πεσον εν κονιηθιν
Αυτου προσθε ποδων· ὁ δε, ϝαρνευτηρι ϝεοικως,

---

718. Αυτοκασιγνητος. Hecuba Virgilio non Dymantis, sed Cissei filia erat. Cisseis regina Parin creat. Æn. x. 705. Vide z. 299.

731. Ἕκτωρ δ' αλλους μεν Δαναους εϝα.

Ipse neque adversos dignatur sternere morti;
Nec pede congressos æquo, nec tela ferentes
Insequitur; solum densâ in caligine Turnum
Vestigat lustrans, solum in certamine poscit. Æn. xii. 464.

734. Σκαιηθι, ἑτερηθι. Lævâ, alterâ: Vulgò, Σκαιῃ, ἑτερῃφι· vide B. 418.

Καππεσ' απ' ευεργεος διφρου· λιπε δ' οστεα θυμος.
Τον δ' επικερτομεων προσεφης, Πατροκλεες ἱππευ·
Ω ποποι, η μαλ' ελαφρος ανηρ, ὡς ῥεια κυβιστᾷ·
Ει δη που και ποντῳ εν ιχθυοεντι γενοιτο, 746
Πολλους κεν κορεσειεν ανηρ ὁδε, τηθεα διφῶν,
Νηος αποθρωσκων, ει και δυσπεμφελος ειη·
Ὡς νυν εν πεδιῳ εξ ἱππων ῥεια κυβιστᾷ·
Η ῥα και εν Τρωεσσι κυβιστητηρες εασιν. 750
Ὡς φειπων, επι Κεβριονη ἡρωϊ βεβηκει,
Οιμα λεοντος εχων, ὁς τε σταθμους κεραϊζων,
Εβλητο προς στηθος, εφη τε μιν ωλεσεν αλκη·
Ὡς επι Κεβριονη, Πατροκλεες, αλσο μεμαως.
Ἑκτωρ δ' αυθ' ἑτερωθεν αφ' ἱππων αλτο χαμαζε. 755
Τω περι Κεβριοναο, λεονθ' ὡς, δηριθητην,
Ὡ τ' ορεος κορυφῃσι περι κταμενης ελαφοιο,
Αμφω πειναοντε, μεγα φρονεοντε μαχεσθον·
Ὡς περι Κεβριοναο δυω μηστωρες αϋτης,
Πατροκλος τε Μενοιτιαδης και φαιδιμος Ἑκτωρ, 760
Γιεντ' αλληλων ταμεειν χροα νηλεϊ χαλκῳ.
Ἑκτωρ μεν, κεφαληφιν επει γλαβεν, ουχι μεθιει·
Πατροκλος δ' ἑτερωθεν εχεν ποδος· οἱ δε δη αλλοι
Τρωες και Δαναοι συναγον κρατερην ὑσμινην.
Ὡς δ' Ευρος τε Γνοτος τ' εριδαινετον αλληλοιϊν 765
Ουρεος εν βησσῃς βαθεην πελεμιζεμεν ὑλην,
Φηγον τε, μελιην τε, τανυφλοιον τε κρανειαν,
Αἱ τε προς αλληλας εβαλον τανυηκεας οζους
Γηχῃ θεσπεσιῃ, παταγος δε τε γαγνυμεναων·

---

735. τον αρ. quem sanè: Vulgò, τον οἱ· Bentleius, ὁν ῥα.

736. ουδε δην χαζετο φωτος. neque diu recessit a viro, Nec vanum reddidit jactum: Ita Schol. Prima littera in δην videtur vim duplicem habere.

747. τηθεα διφῶν. ostrea quærens: Piscis testaceus, scopulis adhærens.

748. ει και δυσπεμφελος ειη. etiamsi procellosum esset: id est, ποντος, ut bis Hesiodus.

752. Οιμα. Impetum: Hesychius. Sic Φ. 252, X. 140, 308.

Ὡς Τρωες και Αχαιοι επ' αλληλοισι θοροντες
Δαιουν, ουδ' ἑτεροι μναοντ' ολοοιο φοβοιο.
Πολλα δε Κεβριονην αμφ' οξεα δουρα πεπηγει,
Ιοι τε πτεροεντες απο νευρηφι θοροντες·
Πολλα δε χερμαδια ϝμεγαλ' ασπιδας εστυφελιξε
Μαρναμενων αμφ' αυτον· ὁ δ' εν στροφαλιγγι κονιης
Κειτο ϝμεγας ϝμεγαλωστι, λελασμενος ἱπποσυναων.
Ὅϝρα μεν Ηελιος μεσον ουρανον αμφιβεβηκει,
Τοϝρα μαλ' αμφοτερων βελε' ἡπτετο· πιπτε δε λαος·
Ημος δ' Ηελιος μετενισσετο βουλυτονδε,
Και τοτε δη ϝρ' ὑπερ αισαν Αχαιοι φερτεροι ησαν·
Εκ μεν Κεβριονην βελεων ἡρωα ϝερυσσαν,
Τρωων εξ ενοπης, και απ' ωμων τευχε' εϝλοντο.
Πατροκλος δε Τρωσι κακα φρονεων ενορουσε·
Τρις μεν επειτ' εποροὺσε, θοῳ αταλαντος Αϝρηϊ,
Σμερδαλε' ιαχεων· τρις δ' εννεα φωτας επεφνεν·
Αλλ' ὁτε δη το τεταρτον επεϝσυτο, δαιμονι ϝισος,
Ενθ' αρα τοι, Πατροκλε, φανη βιοτοιο τελευτη·
Ηντετο γαρ τοι Φοιβος ενι κρατερῃ ὑσμινῃ
Δεινος· ὁ μεν τον ιοντα κατα κλονον ουκ ενοησεν·
Ηερι γαρ πολλῃ κεκαλυμμενος αντεβολησε·
Στη δ' οπιθε, πληξεν δε μεταφρενον, ευρεε τ' ωμω,
Χειρι καταπρηνει· στρεφεδινηθεν δε οι οσσε.
Τοιο δ' απο κρατος κυνεην βαλε Φοιβος Απολλων·
Ἡ δε κυλινδομενη καναχην εχε ποσσιν ὑφ' ἱππων
Αυλωπις τρυφαλεια· μιανθησαν δε ϝεθειραι
Αἱματι και κονιηθι· παρος γε μεν ου θεμις ην
Ἱπποκομον πληκα μιαινεσθαι κονιηθιν·

---

779. βουλυτονδε. ad horam secundam post meridiem; tunc enim boves ab aratro solvuntur.

781. ἡρωα ϝερυσσαν. heroem traxerunt: Hic præcipuè locus digamma indicat. A. 141.

785. Σμερδαλε' ιαχεων. Tremendè clamans: Vide E. 302.

792. στρεφεδινηθεν. vertigine torquebantur: a στρεφω, et δινεω.

795. μιανθησαν δε ϝεθειραι. inquinabantur verò crines: Ex hoc loco, et X. 315, ϝεθειρα digamma postulare constat. Vide Θ. 42, T. 382.

Αλλ᾽ ανδρος θειοιο καρη χαριεν τε μετωπον
Γρυετ᾽ Αχιλληος· τοτε δε Ζευς Ἕκτορι δωκεν
Γῃ κεφαλῃ φορεειν· σχεδοθεν δε οι ηεν ολεθρος·
Παν δε οι εν χειρεσσι γαγη δολιχοσκιον εγχος,
Βριθυ, γμεγα, στιβαρον, κεκορυθμενον· αυταρ απ᾽ ωμων
Ασπις συν τελαμωνι χαμαι πεσε τερμιοεσσα·
Λυσε δε οι θωρηκα γαναξ, Διος υἱος, Απολλων.
Τον δ᾽ αγατη φρενας εγλε, λυθεν δ᾽ ὑπο φαιδιμα γυια·
Στη δε ταφων· οπιθεν δε μεταφρενον οξεϊ δουρι
Ωμων μεσσηγυ σχεδοθεν βαλε Δαρδανος ανηρ,
Πανθοϊδης Ευφορβος, ὃς ἡλικιην εκεκαστο
Εγχεϊ θ᾽, ἱπποσυνῃ τε, ποδεσσι τε καρπαλιμοισι·
Και γαρ δη ποτε φωτας εγεικοσι βησεν αφ᾽ ἱππων,
Πρωτ᾽ ελθων συν οχεσσι, διδασκομενος πολεμοιο.
Ὃς τοι πρωτος εφηκε βελος, Πατροκλεες ἱππευ,
Ουδε δαμασσ᾽· ὁ μεν αυτις ανεδραμε, μικτο δ᾽ ὁμιλῳ,
Εκ χροος ἁρπαξας δορυ γμειλινον· ουδ᾽ ὑπεμεινε
Πατροκλον, γυμνον περ εοντ᾽, εν δηϊοτητι.
Πατροκλος δε Θεου πληγῃ και δουρι δαμασθεις,
Αψ ἑταιρων ες γεθνος εχαζετο, κηρ᾽ αλεεινων.
Ἕκτωρ δ᾽, ὡς εγιδεν Πατροκλεεα γμεγαθυμον
Αψ αναχαζομενον, βεβλημενον οξεϊ χαλκῳ,
Αγχιμολον γεθιν ηλθε κατα στιχας, ουτα δε δουρι
Νειατον ες κενεωνα· δια προ δε χαλκον ελασσε·
Δουπησεν δε πεσων, γμεγα δ᾽ ηκαχε λαον Αχαιων.
Ὡς δ᾽ ὁτε σῦν ακαμαντα λεων εβιησατο χαρμῃ,
Τω τ᾽ ορεος κορυφῃσι γμεγα φρονεοντε μαχεσθον
Πιδακος αμφ᾽ ολιγης· εθελουσι δε πινεμεν αμφω·

---

803. τερμιοεσσα. ad pedes extensa: ποδηνεκης. Ita, Od. τ. 242.
810. Και γαρ. Knightius duos versus damnat.
813. ὁ μεν αυτις ανεδραμε. Ita Aruns, Camillâ vulneratâ; Æn. xi. 806.
820. γεθιν. ei: Vulgò, ῥα οἱ· vide Ε. 270.
822. ηκαχε. tristitiâ affecit: aoristus ab ακαχεω.
825. Πιδακος αμφ᾽ ολιγης. Fontem ob exiguum: id est, αμφιμαχονται. Ita Ο. 391, Π. 496, Σ. 20; αμφι rarò per se genitivum regit. πινεμεν, bibere: Ita Edd. Vett. alii, πιεμεν.

Πολλα δε ϝ' ασθμαινοντα λεων εδαμασσε βιηθιν·
Ὡς πολεας πεφνοντα Μενοιτιου αλκιμον υἱον
Ἕκτωρ Πριαμιδης σχεδον εγχεϊ θυμον απεϝρα·
Και ϝοι επευχομενος ϝεπεα πτεροεντ' αγορευε·
Πατροκλ', η που εφησθα πολιν κεραϊζεμεν αμην, 830
Τρωϊαδας δε γυναικας, ελευθερον ημαρ αποϝρας,
Αξειν εν νηεσσι φιλην ες πατριδα γαιαν·
Νηπιε· ταων δε προσθ' Ἕκτορος ωκεες ἱπποι
Ποσσιν ορωρεχαται πολεμιζειν· εγχεϊ δ' αυτος
Τρωσι φιλοπτολεμοισι μεταπρεπω, ὁς σφιν αμυνω 835
Ημαρ αναγκαιον· σε δε τ' ενθαδε γυπες εδονται.
Α δειλ', ουδε τοι, εσθλος εων, χραισμησεν Αχιλλευς,
Ὅς που τοι μαλα πολλα μενων επετελλετ' ιοντι,
Μη μοι πριν γ' ιεναι, Πατροκλεες ἱπποκελευθε,
Νηας ανα γλαφυρας, πριν γ' Ἕκτορος ανδροφονοιο 840
Αἱματοεντα χιτωνα περι στηθεσσι δαϊξαι·
Ὡς που σε προσεφη, σοι δε φρενας αφρονι πειθε.
Τον δ' ολιγοδρανεων προσεφης, Πατροκλεες ἱππευ·
Ηδη νυν, Ἕκτορ, ϝμεγαλ' ευχεο· σοι γαρ εδωκε
Νικην Ζευς Κρονιδης και Απολλων, οἱ μ' εδαμασσαν
Ϝρηϊδιως· αυτοι γαρ απ' ωμων τευχε' ελοντο. 846
Τοιουτοι δ' ει περ μοι εϝεικοσιν αντεβολησαν,
Παντες κ' αυτοθ' ολοντο, μεθιν ὑπο δουρι δαμεντες.
Αλλα με ϝμοιρ' ολεση, και Λητοος εκτανεν υἱος,
Ανδρων δ' Ευφορβος· συ δε με τριτος εξεναριζεις. 850
Αλλο δε τοι ϝερεω, συ δ' ενι ϝρεσι βαλλεο σῃσιν·
Ου θην ουδ' αυτος δηρον βεῃ, αλλα τοι ηδη
Αγχι παρεστηκεν θανατος και ϝμοιρα κραταιη,

---

826. ϝε. eum: Vulgò, τε. Vulgò etiam, βιῃφιν· B. 418.
830. αμην. nostram: Codex Harl. αμμιν.
834. ορωρεχαται. extenduntur: ab ορεγω.
848. μεθιν. mihi: Vulgò, εμῳ, contra metrum; vide E. 896.
852. Ου θην. non me, quicunque es, inulto
Victor, nec longùm lætabere; te quoque fata
Prospectant paria, atque eadem mox arva tenebis. Æn. x. 739.

Χερσι δαμεις Αχιληος αμυμονος Αιακιδαο.
Ὡς αρα μιν ϝειποντα τελος θανατοιο καλυψε· 855
Ψυχη δ' εκ ϝρεθεων πταμενη Αϊδοσδε βεβηκει,
Ϝον ποτμον γοοωσα, λιπουσ' ανδροτητα και ἡβην.
Τον και τεθνειωτα προσηυδα φαιδιμος Ἑκτωρ·
Πατροκλεες, τι νυ μοι μαντευεαι αιπυν ολεθρον;
Τις ϝοιδ', ει κ' Αχιλευς, Θετιδος παϊς ηϋκομοιο, 860
Φθαιη εμῳ ὑπο δουρι τυπεις απο θυμον ολεσσαι;
Ὡς αρα φωνησας, δορυ χαλκεον εξ ωτειλης
Ερρυσε, λαξ προσβας· τον δ' ὑπτιον ωσ' απο δουρος·
Αυτικα δε ξυν δουρι μετ' Αυτομεδοντα βεβηκει,
Αντιθεον θεραποντα ποδωκεος Αιακιδαο· 865
Ϝιετο γαρ βαλεειν· τον δ' εκφερον ωκεες ἱπποι
Αμβροτοι, οὑς Πηληϊ Θεοι δοσαν, αγλαα δωρα.

---

854. Χερσι δαμεις. Manibus domitus: Participium passim cum nominativo antecedente concordat, licèt alia interponantur; B. 335, 353. Vulgò, δαμεντ', quod Dammius pro δαμεντα accipit.

857. ανδροτητα. vim: δυναμιν, μεγεθος, Hesychius. Alii, ανδροτητα. Knightius versum damnat, ut et 865.

Vitaque cum gemitu fugit indignata sub umbras. Æn. xi. 831, xii. 952.

861. Φθαιη. Prior esset: a φθημι. Alii, φθῃη.

864. μετ' Αυτομεδοντα βεβηκει. Patroclum relinquit, et Automedontem sequitur. Poematis enim ratio postulat, ut de Patrocli corpore recuperando dimicetur.

ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Ρ.

ARGUMENTA.

Μενελαου αριστεια.
Ρω, κρατερος πονος ωρτο, Μενοιτιαδεω περι νεκρου.

1. MENELAUS Patrocli corpus tutatur.—9. Euphorbum interficit.—
Apollinis monitu, Hector Trojanos in Menelaum excitat.—114. Mene
Ajacem ad se vocat.—140. Glaucus Hectorem increpat.—188. He
arma Achillis induit.—198. Jupiter Hectorem luget.—210. Hector s
hortatur.—257. Ajax minor, Idomeneus, et Meriones auxiliantur.—2
Ajax major Trojanos reprimit, et Hippothoum interficit.—322. Ap
Æneam excitat.—343. Æneas Leocritum cædit, et fortiter utrinque p
natur.—424. Equi Achillis Patroclum lugent.—459. Automedon c
Alcimedonte curru Achillis in Hectorem vadit.—483. Hector Æne
Chromium, et Aretum sibi adjungit.—507. Automedon Ajaces, et Me
laum advocat.—516. Aretum interficit.—543. Iterum circum Patrocl
pugnatur; Minervâ adjuvante, Menelaus Podem interficit.—582. Ap
Hectorem hortatur.—593. Jupiter Achivos terret.—597. Peneleus
Leitus vulnerati fugiunt.—624. Idomeneus fugit.—627. Ajax Jovem o
ut lucem det.—651. Menelaum hortatur, ut Antilochum ad Achill
nuntium mittat.—715. Ajace hortante, Menelaus et Meriones Patrocl
tollunt.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Ρ.

Ουδ' ελαθ' Ατρεος υἱον, Αρηϊφιλον Μενελαον,
Πατροκλος Τρωεσσι δαμεις εν δηϊοτητι·
Βη δε δια προμαχων κεκορυθμενος αιθοπι χαλκῳ·
Αμφι δ' αρ αυτῳ βαιν', ὡς τις περι πορτακι μητηρ,
Πρωτοτοκος, κινυρη, ου πριν γε ϝιδυια τοκοιο·
Ὡς περι Πατροκλῳ βαινε ξανθος Μενελαος·
Προσθε δε οἱ δορυ τ' εσχε και ασπιδα παντοσε ϝισην,
Τον κταμεναι μεμαως, ὁστις τουγ' αντιος ελθοι.
Ουδ' αρα Πανθοου υἱος εϋϝμελιης αμελησε
Πατροκλοιο πεσοντος αμυμονος· αγχι δ' αρ αυτου
Εστη, και προσεφειπεν Αρηϊφιλον Μενελαον·
Ατρειδη Μενελαε, Διοτρεφες, ορχαμε λαων,
Χαζεο, λειπε δε νεκρον, εφα δ' εναρα βροτοεντα·
Ου γαρ τις προτερος Τρωων κλειτων τ' επικουρων
Πατροκλον βαλε δουρι κατα κρατερην ὑσμινην·
Τῳ συ μ' εφα κλεος εσθλον ενι Τρωεσσιν αρεσθαι,
Μη σε βαλων, απο δη μελιϝηδεα θυμον εϝλωμαι.

---

5. Πρωτοτοκος, κινυρη, ου πριν γε ϝιδυια τοκοιο. Primùm enixa, querula, non priùs experta partum: κινυρη quasi μινυρη a μινυρομαι· non alibi occurrit. Vulgò, ου πριν ειδυια· sed alibi semper forma est ϝιδυια.

8. ὁστις τουγ' αντιος ελθοι. quicunque contra eum veniret: id est, contra Patroclum, ut rectè Heynius; si, contra se, voluisset, ϝεϝιν scripsisset.

9. Πανθοου. Panthoi: Vulgò, Πανθου· vide O. 522.

16. Τῳ συ μ' εφα. Quare tu me permitte: Ita A. 393, et passim. Vulgò, Τω με ϝα, quod ϝεα fuisse indicaret. Bentleius, Τῳ εμ' εα· Heynius, Τῳ μ' εαα· Knightius, Τῳ μ' εϝαε. Vide B. 165.

17. Μη σε βαλων, απο δη. Ne te feriens, auferam revera mellitum animum: Vulgò, Μη σε βαλω, απο δε, quod aut in metrum peccat, aut μελι digamma accipit; ob unum tamen locum inferre nolui.

Τον δε ϝμεγ' οχθησας προσεφη ξανθος Μενελαος·
Ζευ πατερ, ου μεν καλον ὑπερβιον ευχεταασθαι.
Ουτ' ουν πορδαλιος τοσσον μενος, ουτε λεοντος,
Ουτε συος καπρου ολοοφρονος, οὑ τε ϝμεγιστος
Θυμος ενι στηθεσσι περι σθενεϊ βλεμεαινει,
Ὁσσον Πανθοου υἱες εὔϝμελιαι φρονεουσιν.
Ουδε μεν ουδε βιη Ὑπερηνορος ἱπποδαμοιο
Ϝης ἠβης απονηθ', ὁτε μ' ωνοτο, και μ' ὑπεμεινε·
Και μ' εφατ' εν Δαναοισιν ελεγχιστον πολεμιστην
Εμμεναι· ουδε ϝε φημι, ποδεσσι γε ϝοισι κιοντα,
Ευφρηναι αλοχον τε φιλην, κεδνους τε τοκηας.
Ὡς θην και σον εγω λυσω μενος, ει κε μευ αντα
Στειῃς· αλλα σ' εγωγ' αναχωρησαντα κελευω
Ες πληθυν ιεναι, μηδ' αντιος ἱστασ' εμειο,
Πριν τι κακον παθεειν· ϝρεχθεν δε τε νηπιος εγνω.
Ὡς φατο, τον δ' ου πειθεν· αμειβομενος δε προσηυδα·
Νυν μεν δη, Μενελαε Διοτρεφες, η μαλα τισεις
Γνωτον εμον, τον επεφνες· επευχομενος δ' αγορευεις·
Χηρωσας δε γυναικα μυχῳ θαλαμοιο νεοιο,
Αϝρητον δε τοκευσι γοον και πενθος εθηκας.
Η κε σφιν δειλοισι γοου καταπαυμα γενοιμην,
Ει κεν εγω κεφαλην τε τεην και τευχε' ενεικας,
Πανθοῳ εν χειρεσσι βαλω και Φροντιδι διῃ·
Αλλ' ου μαν ετι δηρον απειρητος πονος εσται,
Ουδε τ' αδηριτος, ουτ' αλκης, ουτε φοβοιο.
Ὡς ϝειπων, ουτησε κατ' ασπιδα παντοσε ϝισην·
Ουδ' ερῃξεν χαλκον, ανεγναμφθη δε οι αιχμη
Ασπιδοθι κρατερῃ· ὁ δε δευτερος ωρνυτο χαλκῳ

---

25. ωνοτο. vituperavit: imperfectum ab ονομαι. Vulgò, ανατο, quæ vox præcisa esse dicitur pro ωνοσατο· durum tamen hoc videtur. Verbum est ονομαι, et ut διδομαι formatur; in futuro et aoristo ονοσομαι, et ωνοσαμην format. Aliud omnino verbum ut ονημι, juvo. Mirè hæc Dammius miscuit.

30. Στειῃς. Stes: Vulgò, Στῃς· vide Ε. 598.

37. Αϝρητον. Infandum: a ϝερεω, dico, Α. 62. MSS. et Αρητον, et Αρητον habent. Iterum occurrit, Ω. 741, et vide Σ. 410, Φ. 395, 445.

Ατρεϊδης Μενελαος, επευξαμενος Διϊ πατρι.
Αψ δ' αναχαζομενοιο κατα στομαχοιο θεμεθλα
Νυξ', επι δ' αυτος ερεισε, βαρειη χειρι πιθησας·
Αντικρυ δ' ἀπαλοιο δι' αυχενος ηλυθ' ακωκη·
Δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αυτῳ· 50
Αἱματι οἱ δευοντο κομαι, Χαριτεσσιν ὁμοιαι,
Πλοχμοι θ', οἱ χρυσῳ τε και αργυρῳ εσφηκωντο.
Οἱον δε τρεφει ερνος ανηρ εριθηλες ελαιης
Χωρῳ εν οιοπολῳ, ὁθι βεβρυχεν ϝαλις ὑδωρ,
Καλον, τηλεθαον, το δε τε πνοιαι δονεουσι 55
Παντοιων ανεμων, και τε βρυει ανθεϊ λευκῳ·
Ελθων δ' εξαπινης ανεμος συν λαιλαπι πολλῃ,
Βοθρου τ' εξεστρεψε και εξετανυσσ' επι γαιῃ·
Τοιον Πανθοου υἱον εϋϝμελιην Ευφορβον
Ατρεϊδης Μενελαος, επει κτανε, τευχε' εσυλα. 60
Ὡς δ' ὁτε τις τε λεων ορεσιτροφος, αλκι πεποιθως,
Βοσκομενης αγελης βουν ἁρπαξῃ, ἡτις αριστη·
Της δ' εξ αυχεν' εαξε, ϝλαβων κρατεροισιν οδουσι,
Πρωτον, επειτα δε θ' αἱμα και εγκατα παντα λαφυσσει
Δαιῶν, αμφι δε τονγε κυνες τ' ανδρες τε νομηες 65
Πολλα μαλ' ιϋζουσιν αποπροθεν, ουδ' εθελουσιν
Αντιον ελθεμεναι· μαλα γαρ χλωρον δεος αἱρει·
Ὡς των ουτινι θυμος ενι στηθεσσιν ετολμα
Αντιον ελθεμεναι Μενελαου κυδαλιμοιο.
Ενθα κε ϝρεια φεροι κλυτα τευχεα Πανθοϊδαο 70
Ατρεϊδης, ει μη οι αγασσατο Φοιβος Απολλων,
Ὃς ϝρα οι Ἑκτορ' επωρσε, θοῳ αταλαντον Αρηϊ,
Ανερι ϝεισαμενος Κικονων ἡγητορι Μεντῃ·

---

42. αδηριτος. sine lite: Alii, αδηριντος. Knightius hunc versum et præcedentem damnat.

45. Ασπιδεθι. In scuto: Ita, κηροθι, I. 300. Vide Γ. 349, Β. 418.

54. ὁθι βεβρυχεν ϝαλις ὑδωρ. ubi resonat abundè aqua: Vulgò, ὁθ' ἁλις αναβεβρυχεν ὑδωρ· sed βεβρυχεν ubique penultimam producit, et αναβρυχω nusquam occurrit. Ϝαλις insuper digamma postulat, Β. 90.

56. βρυει. pullulat: Verbum non alibi occurrit.

Και μιν φωνησας ϝεπεα πτεροεντα προσηυδα·
Ἕκτορ, νυν συ μεν ὡδε θεεις, ακιχητα διωκων
Ἵππους Αιακιδαο δαϊφρονος· οἱ δ' αλεγεινοι
Ανδρασι γε θνητοισι δαμημεναι, ηδ' οχεεσθαι,
Αλλῳ γ', η Αχιλῆϊ, τον αθανατη τεκε μητηρ.
Τοϝρα δε τοι Μενελαος, Αρηϊος Ατρεος υἱος,
Πατροκλῳ περιβας, Τρωων τον αριστον επεφνε,
Πανθοϊδην Ευφορβον, επαυσε δε θουριδος αλκης.
Ὡς ϝειπων, ὁ μεν αυθις εβη Θεος αμπονον ανδρων·
Ἕκτορα δ' αινον αχος πυκασε φρενας αμφιμελαινας·
Παπτηνεν δ' αρ επειτα κατα στιχας· αυτικα δ' εγνω
Τον μεν απαινυμενον κλυτα τευχεα, τον δ' επι γαιῃ
Κειμενον· ϵρρεε δ' αἱμα κατ' ουταμενην ωτειλην.
Βη δε δια προμαχων, κεκορυθμενος αιθοπι χαλκῳ,
Οξεα κεκληγως, φλογι ϝεικελος Ἡφαιστοιο
Ασπετῳ· ουδ' υἱον λαθεν Ατρεος οξυ βοησας·
Οχθησας δ' αρα ϝειπε προτι ϝμεγαλητορα θυμον·
Ω μοι εγων, ει μεν κε λιπω κατα τευχεα καλα,
Πατροκλον θ', ὃς κειται εμης ἑνεκ' ενθαδε τιμης,
Μη τις μοι Δαναων νεμεσησεται, ὃς κε ϝιδηται·
Ει δε κεν Ἕκτορι μουνος εων και Τρωσι μαχωμαι
Αιδεσθεις, μη πως με περιστειωσ' ἑνα πολλοι·
Τρωας δ' ενθαδε παντας αγει κορυθαιολος Ἕκτωρ.
Αλλα τιη μοι ταυτα φιλος διελεξατο θυμος;
Ὁπποτ' ανηρ εθελει προς δαιμονα φωτι μαχεσθαι,
Ὃν κε Θεος τιμᾷ, ταχα ϝοι ϝμεγα πημα κυλισθη·
Τῳ κ' ουτις Δαναων νεμεσησεται, ὃς κε ϝιδηται
Ἕκτορι χωρησαντ', επει εκ Θεοφιν πολεμιζει.
Ει δε που Αιαντος γε βοην αγαθοιο πυθοιμην,
Αμφω κ' αυτις ιοντε επιμνησαιμεθα χαρμης,

---

75. ακιχητα διωκων. incassum sequens: a κιχημι, assequor.

89. Ασπετῳ. Ingenti: Ita Bentleius; vulgò, Ασβεστῳ, contra metrum. Barnesius, ουδ' υἱα λαθ' Ατρεος, emendavit.

Και προς δαιμονα περ, ει πως ϝερυσαιμεθα νεκρον
Πηλεϊδῃ Αχιλῆϊ· κακων δε κε φερτερον ειη.
Εἷος ὁ ταυθ' ὡρμαινε κατα φρενα και κατα θυμον,
Τοϝρα δ' επι Τρωων στιχες ηλυθον· ηρχε δ' αρ Ἕκτωρ.
Αυταρ ὁγ' εξοπισω ανεχαζετο, λειπε δε νεκρον
Εντροπαλιζομενος· ὡς τε ϝλις ηϋγενειος,
Ὁν ϝρα κυνες τε και ανδρες απο σταθμοιο διωνται
Εγχεσι και φωνῃ· του δ' εν φρεσιν αλκιμον ητορ
Παχνουται, αϝεκων δε τ' εβη απο μεσσαυλοιο·
Ὡς απο Πατροκλοιο κιε ξανθος Μενελαος.
Στη δε μεταστρεφθεις, επει ἱκετο ϝεθνος ἑταϝρων,
Παπταινων Αιαντα ϝμεγαν, Τελαμωνιον υἱον·
Τον δε μαλ' αιψ' ενοησε μαχης επ' αριστερα πασης,
Θαρσυνονθ' ἑταϝρους, και εποτρυνοντα μαχεσθαι·
Θεσπεσιον γαρ σφιν φοβον εμβαλε Φοιβος Απολλων·
Βη δε θεειν, ειθαρ δε παρισταμενος ϝεπος ηυδα·
Αιαν, δευρο, πεπον, περι Πατροκλοιο θανοντος
Σπευσομεν, αι κε νεκυν περ Αχιλλῆϊ προφερωμεν
Γυμνον· αϝαρ ταγε τευχε' εχει κορυθαιολος Ἕκτωρ.
Ὡς εφατ· Αιαντι δε δαϊφρονι θυμον ορινε·
Βη δε δια προμαχων, ἁμα δε ξανθος Μενελαος.
Ἕκτωρ μεν Πατροκλον, επει κλυτα τευχε' απεϝρα,
Ἑλχ', ἐν' απ' ωμοιϊν κεφαλην ταμοι οξεϊ χαλκῳ,
Τον δε νεκυν Τροϊῃσι ϝερυσσαμενος κυσι δοιη·
Αιας δ' εγγυθεν ηλθε, φερων σακος, ηϋτε πυργον.
Ἕκτωρ δ' αψ ες ὁμιλον ιων ανεχαζεθ' ἑταϝρων·
Ες διϝρον δ' ανορουσε· διδου δ' ὅγε τευχεα καλα
Τρωσι ϝερειν προτι ϝαστυ, ϝμεγα κλεος εμμεναι αυτῳ.
Αιας δ', αμϝι Μενοιτιαδῃ σακος ευρυ καλυψας,
Ἑστηκει, ὡς τις τε λεων περι ϝοισι τεκεσσιν,

---

90. προτι. ad: Vulgò, προς ὁν· vide Λ. 403.
95. περιστειωσι. circumstent: Vide P. 30, E. 598.
100. Τῳ κ' ου τις. Quare tum nemo: Vulgò, Τῳ μ' ουτις· sed μοι elidi nequit; z. 165; et νεμεσαω casum non postulat; Δ. 507, N. 293.

Ὡι ῥα τε νηπι' ἀγοντι συναντησονται εν ὑλῃ
Ανδρες επακτηρες, ὁ δε τε σθενεϊ βλεμεαινει,
Παν δε τ' επισκυνιον κατω ἑλκεται, οσσε καλυπτων·
Ὡς Αιας περι Πατροκλῳ ἡρωϊ βεβηκει.
Ατρεϊδης δ' ἑτερωθεν, Αρηϊφιλος Μενελαος,
Ἑστηκει, ῥμεγα πενθος ενι στηθεσσιν αεξων.
Γλαυκος δ', Ἱππολοχοιο παϊς, Λυκιων αγος ανδρων,
Ἑκτορ' ὑποδρα ῥιδων χαλεπῳ ηνιπαπε μυθῳ·
Ἑκτορ, ῥειδος αριστε, μαχης αρα πολλον εδευεο·
Η σ' αυτως κλεος εσθλον εχει, φυξηλιν εοντα.
Φραζεο νυν, ὁππως κε πολιν και ῥαστυ σαωσεις
Οιος συν λαοις, τοι Ῥιλιῳ εγγεγαασιν·
Ου γαρ τις Λυκιων γε μαχησομενος Δαναοισιν
Εισι περι πτολιος· επει ουκ αρα τις χαρις ην
Μαρναασθαι δαϊοισι μετ' ανδρασι νωλεμες αιει.
Πως κε συ χειρονα φωτα σαωσειας μεθ' ὁμιλον,
Σχετλι' ; επει Σαρπηδον' ἁμα ξεινον και ἑταῖρον
Καλλιπες Αργειοισι ῥελωρ και κυρμα γενεσθαι·
Ὃς τοι πολλ' οφελος γενετο πτολεϊ τε και αυτῳ,
Ζωος εων· νυν δ' ου ῥοι αλαλκεμεναι κυνας ετλης.
Τῳ νυν ει τις εμοι Λυκιων επιπειθοιτο ανδρων,
Ῥοικαδ' ἰμεν, Τροϊῃ δε πεφησεται αιπυς ολεθρος.
Ει γαρ νυν Τρωεσσι μενος πολυθαρσες ενειη
Ατρομον, οἷον τ' ανδρας εσερχεται, οἳ περι πατρης
Ανδρασι δυσμενεεσσι πονον και δῃριν εθεντο,
Αἶψα κε Πατροκλον ῥερυσαιμεθα Ῥιλιον εισω·
Ει δ' οὗτος προτι ῥαστυ ῥμεγα Πριαμοιο ῥανακτος
Ελθοι τεθνειως, και μιν ῥερυσαιμεθα χαρμης,
Αἶψα κεν Αργειοι Σαρπηδονος εντεα καλα
Λυσειαν, και κ' αυτον αγοιμεθα Ῥιλιον εισω·

---

142. μαχης αρα πολλον εδευεο. pugnâ sanè multùm defuisti: Ita, αλκης δευησεσθαι, N. 786; et, μαχης επιδευομαι, Ψ. 670.

144. ὁππως κε πολιν. quomodo tum urbem: Ὁππως non alibi primam in thesi producit; A. 344. Knightius quinque versus damnat, ut et 164, 165, 172, 190.

Τοιου γαρ θεραπων πεφατ' ανερος, ὃς ῥμεγ' αριστος
Αργειων παρα νηυσι, και αγχεμαχοι θεραποντες.
Αλλα συγ' Αιαντος ῥμεγαλητορος ουκ εταλασσας
Στημεναι αντα, κατ' οσσε ῥιδων δαϊων εν αϋτῃ,
Ουδ' ιθυς μαχεσασθαι· επει σεο φερτερος εστι.
Τον δ' αρ ὑποδρα ῥιδων προσεφη κορυθαιολος Ἕκτωρ·
Γλαυκε, τιη δε συ τοιος εων ὑπεροπλον εῤειπες;
Ω πεπον, ητ' εφαμην σε περι φρενας εμμεναι αλλων
Των, ὁσσοι Λυκιην εριβωλακα ναιεταουσι·
Νυν δε σευ ωνοσαμην παγχυ φρενας, οἷον εῤειπες·
Ὃς τε με φῃς Αιαντα πελωριον ουχ ὑπομειναι.
Ουτοι εγω ῥεῤῥιγα μαχην, ουδε κτυπον ἱππων·
Αλλ' αιει γε Διος κρεισσων νοος αιγιοχοιο,
Ὃς τε και αλκιμον ανδρα φοβεῖ, και απερλετο νικην
Ῥηϊδιως, ὁτε δ' αυτος εποτρυνει μαχεσασθαι.
Αλλ' αγε δευρο, πεπον, παρ' εμ' ἱστασο, και ῥιδε ῥεργον·
Ηε πανημεριος κακος εσσομαι, ὡς αγορευεις,
Η τινα και Δαναων, αλκης ῥμεγα περ μεμαωτα,
Σχησω αμυνεμεναι περι Πατροκλοιο θανοντος.
Ὡς ῥειπων, Τρωεσσιν εκεκλετο μακρον αϋσας·
Τρωες, και Λυκιοι, και Δαρδανοι αγχιμαχηται,
Ανερες εστε, φιλοι, μνησασθε δε θουριδος αλκης·
Ὄῤρα κ' εγων Αχιλῆος αμυμονος εντεα δυω,
Καλα, τα Πατροκλοιο βιην εναριξα κατακτας.
Ὡς αρα φωνησας απεβη κορυθαιολος Ἕκτωρ
Δηϊου εκ πολεμοιο· θεων δ' εκιχανεν ἑταῤρους
Ωκα μαλ', ουπω τηλε, ποσι κραιπνοισι μετασπων,
Οἳ προτι ῥαστυ φερον κλυτα τευχεα Πηλεϊδαο.
Στας δ' απανευθε μαχης πολυδακρυος εντε' αμειβεν.
Ητοι ὁ μεν τα ῥα δωκε, φερειν προτι Ῥιλιον ἱρην,

---

145. λαοις. populis: Vulgò, λαοισι.
155. Ῥοικαδ' ἰμεν. Domum ibimus: ab ειμι, eo.
171. Ω πεπον. O care: B. 235. Aristarchus, Ω ποποι.
192. πολυδακρυος. lacrymabilis: Ita Γ. 132, 165, et ita Bentleius. Vulgò, πολυδακρυτου· sed penultimam producit, Ω. 620.

Τρωσι φιλοπτολεμοισιν· ὁ δ' αμβροτα τευχε' εδυνε
Πηλεϊδεω Αχιληος, ἁ ῥοι Θεοι Ουρανιωνες
Πατρι φιλῳ εποροι· ὁ δ' αρα ῥῳ παιδιν οπασσε
Γηρας· αλλ' ουχ υἱος εν εντεσι πατρος εγηρα.
Τον δ' ὡς ουν απανευθε ϝιδε ϝνεφεληγερετα Ζευς
Τευχεσι Πηλεϊδαο κορυσσομενον θειοιο,
Κινησας ϝρα καρη προτι ϝον μυθησατο θυμον·
Α δειλ', ουδε τι τοι θανατος καταθυμιος εστιν,
Ὃς δη τοι σχεδον εστι· συ δ' αμβροτα τευχεα δυνεις
Ανδρος αριστηος, τον τε τρομεουσι και αλλοι·
Του δη ἑταϝρον επεφνες ενηεα τε κρατερον τε·
Τευχεα δ' ου κατα κοσμον απο κρατος τε και ωμων
Εϝλες· αϝαρ τοι νυν γε ϝμεγα κρατος εγγυαλιξω,
Των ποινην, ὁ τοι ουτι μαχης εκνοστησαντι
Δεξεται Ανδρομαχη κλυτα τευχεα Πηλεϊωνος.
Η, και κυανεῃσιν επ' οϝρυσι νευσε Κρονιων·
Ἕκτορι δ' ἡρμοσε τευχ' επι χροϊ· δυ δε μιν Αϝρης,
Δεινος Ενυαλιος· πλησθεν δ' αρα ϝοι μελε' εντος
Αλκης και σθενεος· μετα δε κλειτους επικουρους
Βη ϝρα ϝμεγ' ιαχεων· ϝινδαλλετο δε σφισι πασι,
Τευχεσι λαμπομενος ϝμεγαθυμου Πηλεϊωνος.
Ωτρυνεν δε ϝεκαστον εποιχομενος ϝεπεεσσι,
Μεσθλην τε, Γλαυκον τε, Μεδοντα τε, Θερσιλοχον τε,
Αστεροπαιον τε, Δεισηνορα θ', Ἱπποθοον τε,
Φορκυνα, Χρομιον τε, και Εννομον οιωνιστην·
Τους ὁγ' εποτρυνων, ϝεπεα πτεροεντα προσηυδα·

---

197. Γηρας, εγηρα. Senescens, senuit: Utrumque a γηρημι· ita ουτημι, εραμαι, et multa alia. Hoc quidem Knightius non licere censet, et versus tredecim damnat.

210. Ἕκτορι δ' ἡρμοσε τευχ' επι χροϊ. Hectori verò conveniebant arma ad cutem: Achilles igitur Hectore non major erat. Alii, aptabat, vertunt; et Jovem arma ei aptâsse censent.

213. ϝμεγ' ιαχεων. valde clamans: Vulgò, μεγ' ιαχων· vide Ε. 343. ϝινδαλλετο. similis videbatur: Ψ. 460.

217. Δεισηνορα. a δειδω, et ανηρ. Prima litera, ut thema vim duplicem habet; Α. 33.

Κεκλυτε, μυρια φυλα περικτιονων επικουρων·
Ου γαρ εγω πληθυν διζημενος, ουδε χατιζων,
Ενθαδ' αφ' υμετερων πολιων ηγειρα ϝεκαστον·
Αλλ' ἱνα μοι Τρωων αλοχους και νηπια τεκνα
Προφρονεως ϝερυοισθε φιλοπτολεμων ὑπ' Αχαιων·
Τα φρονεων, δωροισι κατατρυχω και εδωδῃ
Λαους, ὑμετερον δε ϝεκαστου θυμον αεξω.
Τῳ τις νυν ιθυς τετραμμενος, η απολεσθω,
Ηε σαωθητω· ἡ γαρ πολεμου οαριστυς.
Ὅς δε κε Πατροκλον, και τεθνειωτα περ, εμπης
Τρωας ες ἱπποδαμους ϝερυσει, ϝειξει δε οι Αιας,
Ἡμισυ των εναρων αποδασσομαι, ἡμισυ δ' αυτος
Ἐξω εγω· το δε οι κλεος εσσεται, ὁσσον εμοι περ.
Ὡς εφαθ'· οἱ δ' ιθυς Δαναων βρισαντες εβησαν,
Δουρατ' ανασχομενοι· μαλα δε σφισι ϝελπετο θυμος
Νεκρον ὑπ' Αιαντος ϝερυειν Τελαμωνιαδαο·
Νηπιοι· ητε πολεσσιν επ' αυτῳ θυμον απεϝρα.
Και τοτ' αρ Αιας ϝειπε βοην αγαθον Μενελαον·
Ω πεπον, ω Μενελαε Διοτρεϕες, ουκετι νωϊ
Ϝελπομαι αυτω περ νοστησεμεν εκ πολεμοιο.
Ου τι τοσον νεκυος περι δειδια Πατροκλοιο,
Ὅς κε ταχα Τρωων κορεσει κυνας, ηδ' οιωνους,
Ὁσσον εμῃ κεϕαλῃ περι δειδια, μη τι παθησι,
Και σῃ· επει πολεμοιο ϝνεϕος περι παντα καλυπτει
Ἑκτωρ· ἡμιν δ' αυτ' αναϕαινεται αιπυς ολεθρος.
Αλλ' αγ', αριστηας Δαναων καλει, ει τις ακουσει.

---

218. Φορκυνα. Ita P. 312, et Od. α. 72, ν. 96, 345. Vulgò hîc, et P. 318, Φορκυν τε.

224. ϝερυοισθε. tutemini: Ita I. 248; vulgò, ῥυοισθε.

243. πολεμοιο ϝνεϕος. belli nubem circum omnia tendit Hector: Ita, προσθε οι πεπλον εκαλυψε, E. 315, 506, Ξ. 359. Knightius versum sequentem damnat.

Æneas *nubem belli*, dum detonet, omnem Sustinet. Æn. x. 809.

245. ει τις ακουσει. Si quis audiet: MSS. ην τις ακουσει, et, ην τις ακουσῃ· Vide A. 90.

Ὡς εφατ᾽· ουδ᾽ απιθησε βοην αγαθος Μενελαος·
Ηϋσεν δε διαπρυσιον Δαναοισι γεγωνως·
Ω φιλοι, Αργειων ἡγητορες, ηδε μεδοντες,
Οἱ τε παρ᾽ Ατρεϊδῃς, Αγαμεμνονι και Μενελαῳ,
Δημια πινουσιν, και σημαινουσι ϝεκαστος
Λαοις· εκ δε Διος τιμη και κυδος ὀπηδεῖ·
Αργαλεον δε μοι εστι διασκοπιᾶσθαι ἁπαντας
Ἡγεμονας· τοσση γαρ ερις πολεμοιο δεδηεν.
Αλλα τις αυτος ιτω, νεμεσιζεσθω δ᾽ ενι θυμῳ,
Πατροκλον Τροϊῃσι κυσιν μελπηθρα γενεσθαι.
Ὡς εφατ᾽· οξυ δ᾽ ακουσεν Οἰληος ταχυς Αιας·
Πρωτος δ᾽ αντιος ηλθε, θεων ανα δηϊοτητα.
Τον δε μετ᾽ Ιδομενευς, και οπαων Ιδομενηος
Μηριονης, αταλαντος Ενυαλιῳ βροτολοιγῳ.
Των δ᾽ αλλων τις κεν ϝῃσι φρεσιν ουνομα ϝειπoι,
Ὁσσοι δη μετοπισθε μαχην ηγειραν Αχαιων;
Τρωες δε προετυψαν ασολλεες· ηρχε δ᾽ αρ Ἑκτωρ.
Ὡς δ᾽ ὁτ᾽ επι προχοῃσι Διϊπετεος ποταμοιο
Βεβρυχε ϝμεγα κυμα ποτι ϝροον, αμφι δε τ᾽ ακραι
Ηϊονες βοωσιν, ερευγομενης ἁλος ἐξω·
Τοσση αρα Τρωων ιαχη γενετ᾽· αυταρ Αχαιοι
Ἑστασαν αμφι Μενοιτιαδῃ, ἑνα θυμον εχοντες,
Φραχθεντες σακεσιν χαλκηρεσιν· αμφι δ᾽ αρα σφιν
Λαμπρῃσιν κορυθεσσι Κρονιων ηερα πολλην
Χευ᾽· επει ουδε Μενοιτιαδην ηχθηρε παρος γε,
Ὁϝρα, ζωος εων, θεραπων ην Αιακιδαο·

---

252. ἁπαντας Ἡγεμονας. omnes Duces: Vulgò, ἑκαστον Ἡγεμονων· vide κ. 388, ε. 470.

259. βροτολοιγῳ. homicidæ: Vulgò, ανδρειφοντῃ· vide β. 651. Knightius tres versus damnat.

260. ουνομα ϝειπoι. nomen diceret: Ita, ϝερεω δε τοι ουνομα λαων, Od. ζ. 194, Bentleio citante; vulgò, ουνοματ᾽ ειπoι.

262. προετυψαν. proruperunt: Vulgò, προυτυψαν.

263. Ὡς δ᾽ ὁτε. His versibus Nili fluvii cum mari concursus depingitur. Horum sublimitate perculsus, Solon poëticæ arti renuntiavit. Porphyr. Eustath. Wood.

263. Διϊπετεος ποταμοιο. a Jove cadentis amnis: vide π. 174.

Εστυγεεν δ' αρα μιν δαϊων κυσι κυρμα γενεσθαι
Ωμηστης· τῳ και οι αμυνεμεν ωρσεν ἑταιρους.
Ωσαν δε προτεροι Τρωες ϝελικωπας Αχαιους·
Νεκρον δε προλιποντες ὑπετρεσαν, ουδε τιν' αυτων
Τρωες ὑπερθυμοι ϝελον εγχεσι, ϝιεμενοι περ·
Αλλα νεκυν ϝερυοντο· μινυνθα δε και του Αχαιοι
Μελλον απεσσεσθαι· μαλα γαρ σφεας ωκ' εϝελιξεν
Αιας, ὁς περι μεν ϝειδος, περι δ' επλετο ϝεργα
Των αλλων Δαναων, μετ' αμυμονα Πηλεϊωνα·
Ιθυσεν δε δια προμαχων, συϊ ϝεικελος αλκην
Καπριῳ, ὁς τ' εν ορεσσι κυνας θαλερους τ' αιζηους
Ϝρηϊδιως εκεδασσε, ϝελιξαμενος δια βησσας·
Ὡς υἱος Τελαμωνος αγαυου, φαιδιμος Αιας,
Ϝρεια μετεισαμενος Τρωων εκεδασσε φαλαγγας,
Οἱ περι Πατροκλῳ βεβασαν, φρονεον δε μαλιστα
Ϝαστυ ποτι σφετερον ϝερυειν, και κυδος αρεσθαι.
Ητοι τον, Ληθοιο Πελασγου φαιδιμος υἱος,
Ἱπποθοος ποδος ἑλκε κατα κρατερην ὑσμινην,
Δησαμενος τελαμωνι παρα σφυρον αμφι τενοντας,
Ἑκτορι και Τρωεσσι χαριζομενος· ταχα δ' αυτῳ
Ηλθε κακον, το οι ουτις εϝρυκακε ϝιεμενων περ.
Τον δ' υἱος Τελαμωνος, επαϊξας δι' ὁμιλου,
Πληξ' αυτοσχεδιην, κυνεης δια χαλκοπαρηου·
Ηρικε δ' ἱπποδασεια κορυς περι δουρος ακωκῃ,
Πληγεισ' εγχεϊ τε ϝμεγαλῳ, και χειρι παχειῃ·
Εγκεφαλος δε παρ' αυλον ανεδραμεν ἐξ ωτειλης,

---

272. Εστυγεεν. Noluit: Vulgò, Μισησεν, quod verbum non est Homericum, unde Knightius duos versus, ut et præcedentem, damnat.

273. Ωμηστης. Crudivoris: Vulgò, Τρωησιν· sed nec, δαϊων κυσι Τρωησι, rectè dicitur, nec Τρωϊος ita contrahi potest.

279. περι δ' επλετο ϝεργα. superior verò erat operibus: Vulgò, περι δ' εργα τετυκτο, quod in digamma peccat; ita Δ. 470. Bentleius, αλλα, Knightius, και, proposuerunt.

285. Ϝρεια μετεισαμενος. Facilè interveniens: Vide N. 90.

295. Ηρικε. Fracta est: ab ερεικω, N. 441.

297. παρ' αυλον. per foramen: id est, galeæ foramen visui aptum.

Αἱματοεις· του δ' αυθι λυθη μενος· εκ δ' αρα χειρων
Πατροκλοιο ποδα ϝμεγαλητορος ἡκε χαμαιζε
Κεισθαι· ὁ δ' αγχ' αυτοιο πεσε πρηνης επι νεκρῳ, 300
Τηλ' απο Λαρισσης εριβωλακος· ουδε τοκευσι
Θρεπτρα φιλοις απεδωκε, μινυνθαδιος δε ϝοι αιων
Επλεθ', ὑπ' Αιαντος ϝμεγαθυμου δουρι δαμεντι.
Ἑκτωρ δ' αυτ' Αιαντος ακοντισε δουρι φαεινῳ·
Αλλ' ὁ μεν αντα ϝιδων ηλευατο χαλκεον εγχος 305
Τυτθον· ὁ δε Σχεδιον, ϝμεγαθυμου Ϝιφιτου υἱον,
Φωκηων οχ' αριστον, ὁς εν κλειτῳ Πανοπηϊ
Ϝοικια ναιεταασκε, πολεσσ' ανδρεσσι ϝανασσων·
Τον βαλ' ὑπο κληϊδα μεσην· δια δ' αμπερες ακρη
Αιχμη χαλκεια παρα νειατον ωμον ανεσχε· 310
Δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αυτῳ.
Αιας δ' αυ Φορκυνα δαϊφρονα, Φαινοπος υἱον,
Ἱπποθοῳ περιβαντα, μεσην κατα γαστερα τυψε·
Ϝρηξε δε θωρηκος ϝυαλον, δια δ' εντερα χαλκος
Ηφυσ'· ὁ δ' εν κονιηθι πεσων ϝελε ϝαιαν αγοστῳ. 315
Χωρησαν δ' ὑπο τε προμαχοι και φαιδιμος Ἑκτωρ.
Αργειοι δε ϝμεγ' ιαχεον, ϝερυσαντο δε νεκρους,
Φορκυν', Ἱπποθοον τε· λυοντο δε τευχε' απ' ωμων.
Ενθα κεν αυτε Τρωες, Αϝρηϊφιλων ὑπ' Αχαιων,
Ϝιλιον εισανεβησαν, αναλκειῃσι δαμεντες· 320
Αργειοι δε κε κυδος εϝλον, και ὑπερ Διος αισαν,
Καρτεϊ και σθενεϊ σϝετερῳ· αλλ' αυτος Απολλων
Αινειαν ωτρυνε, δεμας Περιφαντι ϝεοικως,
Κηρυξ Ηπυτιδης, ὁς ϝοι παρα πατρι γεροντι
Κηρυσσων γηρασκε, φιλα φρεσι μηδεα ϝειδως· 325

---

306. ϝμεγαθυμου. magnanimi: ita B. 518. Alii, μεγαθυμον, quod parum interest, sed mos erat laudem patri dare.

317. ϝμεγ' ιαχεον. valde clamaverunt: Vide Δ. 506.

324. Κηρυξ Ηπυτιδης. Legatus Epytæ filius: Ita, Ηετιων, Z. 396. Nominativus in his locis cum nominativo in sententiâ relativâ concordat, ut si, Ὁς κηρυξ, dixisset. Vulgò hîc, Κηρυκι Ηπυτιδῃ, legitur, quod in metrum peccat, et grammatici est emendatio.

Τῳ μιν ϝεισαμενος προσεφη Διος υἱος Απολλων·
Αινεια, πως κεν και ὑπερ Θεον ερυσσαισθε
Ϝιλιον αιπεινην, ὡς δη ϝιδον ανερας αλλους
Καρτεϊ τε σθενεϊ τε πεποιθοτας, ηνορεῃ τε,
Πληθεϊ τε σφετερῳ, και ὑπερδεα δημον εχοντας·
Ἡμιν δε Ζευς μεν πολυ βουλεται, η Δαναοισι,
Νικην· αλλ' αυτοι τρεετ' ασπετον, ουδε μαχεσθε.
Ὡς εφατ'· Αινειας δ' ἑκατηβολον Απολλωνα
Εγνω εσαντα ϝιδων· ϝμεγα δ' Ἑκτορα ϝειπε βοησας·
Ἑκτορ τ', ηδ' αλλοι Τρωων αγοι, ηδ' επικουρων,
Αιδως μεν νυν ἡδε γ' Αρηϊφιλων ὑπ' Αχαιων
Ϝιλιον εισαναβηναι, αναλκειῃσι δαμεντας.
Αλλ' ετι γαρ τις φησι Θεων, εμοι αγχι παραστας,
Ζην' ὑπατον μηστωρα μαχης επιταϝροθον ειναι·
Τῳ ϝρ' ιθυς Δαναων ιομεν, μηδ' οἱγε ϝεκηλοι
Πατροκλον νηυσιν πελασαιατο τεθνειωτα.
Ὡς φατο· και ϝρα πολυ προμαχων εξαλμενος εστη·
Οἱ δ' εϝελιχθησαν, και εναντιοι εσταν Αχαιων.
Ενθ' αυτ' Αινειας Λειοκριτον ουτασε δουρι,
Υἱον Αρισβαντος, Λυκομηδεος εσθλον ἑταϝρον.
Τον δε πεσοντ' ελεῃσεν Αρηϊφιλος Λυκομηδης·
Στη δε μαλ' εγγυς ιων, και ακοντισε δουρι φαεινῳ,
Και βαλεν Ἱππασιδην Απισαονα, ποιμενα λαων,
Ἡπαρ ὑπο πραπιδων· ειθαρ δ' ὑπο γουνατ' ελυσεν·
Ὅς ϝρ' εκ Παιονιης εριβωλακος ειληλουθει,
Και δε μετ' Αστεροπαιον αριστευεσκε μαχεσθαι.
Τον δε πεσοντ' ελεῃσεν Αρηϊος Αστεροπαιος,
Ιθυσεν δε και ὁ προφρων Δαναοισι μαχεσθαι·

---

330. ὑπερδεα. impavidum: pro ὑπερδεεα ab ὑπερδεης. Knightius hoc fieri non posse censet, et versum damnat; ita tamen νηλεα a νηλεης, P. 376, T. 229. Forsitan, ὑπερδεες ητορ, legendum.

331. πολυ βουλεται. mavult: vide A. 117.

349. Ἡπαρ. Versus ab Ernestio, Heynio, et Knightio damnatur, ut a A. 578 malè illatus.

Αλλ' ουπως ετι ϝεικε· σακεσσι γαρ ερχατο παντη
Ἑσταοτες περι Πατροκλῳ, προ δε δουρατ' εχοντο·
Αιας γαρ μαλα παντας επῳχετο, πολλα κελευων·
Ουτε τιν' εξοπισω νεκρου χαζεσθαι ανωγει,
Ουτε τινα προμαχεσθαι Αχαιων εξοχον αλλων,
Αλλα μαλ' αμφ' αυτῳ βεβαμεν, σχεδοθεν δε μαχεσθαι.
Ὡς Αιας επετελλε πελωριος· αἱματι δε χθων
Δευετο πορφυρεῳ· τοι δ' αγχηστινοι επιπτον
Νεκροι ὁμου Τρωων και ὑπερμενεων επικουρων,
Και Δαναων· ουδ' οἱ γαρ αναιμωτι γ' εμαχοντο·
Παυροτεροι δε πολυ φθινυθον· μεμνηντο γαρ αιει
Αλληλοις αν' ὁμιλον αλεξεμεναι πονον αιπυν.
Ὡς οἱ μεν μαρναντο δεμας πυρος· ουδε κε φαινης
Ουτε ποτ' Ηελιον σαον εμμεναι, ουτε Σεληνην·
Ηερι γαρ κατεχοντο μαχης ὑπερ, ὁσσοι αριστοι
Ἑστασαν αμφι Μενοιτιαδῃ κατατεθνειωτι·
Οἱ δ' αλλοι Τρωες τε και ευκνημιδες Αχαιοι,
Ευκηλοι πολεμιζον ὑπ' αιθερι· πεπτατο δ' αυγη
Ηελιου οξεια, ϝνεφος δ' ου φαινετο πασης
Γαιης, ουδ' ορεων· μεταπαυομενοι δε μαχοντο,
Αλληλων αλεεινοντες βελεα στονοεντα,
Πολλον αφεσταοτες· τοι δ' εν μεσῳ αλγε' επασχον
Ηερι και πολεμῳ· τειροντο δε νηλεϊ χαλκῳ,
Ὁσσοι αριστοι εσαν· δυο δ' ουπω φωτε πεπυσθην,
Ανερε κυδαλιμω, Θρασυμηδης, Αντιλοχος τε,
Πατροκλοιο θανοντος αμυμονος, αλλ' ετ' εφαντο

---

354. ετι ϝεικε. jam locus erat: Vulgò, ετι ειχε· vide Η. 217. ερχατο. sepitus erat: Forsitan, σακεσσι δ' ερχατο· vide Π. 481.

367. Ουτε. Heynius versus octodecim vult tollere: Knightius eorum undecim invitus retinet.

368. Ηερι γαρ κατεχοντο μαχης ὑπερ. Nebulâ enim continebantur pugnam super: MSS. επι θ' habent, sed particula τε loco non convenit, unde Stephanus omisit, metro imperfecto reddito. Zenodotus επι τοσσον emendavit, et Codex Harl. επι θ' ὁσσον, habet; sed neutrum placet. Synonymum igitur substitui.

370. Τρωες τε και ευκνημιδες Αχαιοι. Alii, Τρωες και εὐκνημιδες Αχαιοι.

381. επιφοσσομενοι. prædicentes: a ϕοσσομαι, dico; I. 167.

385. ἱδροϊ. sudore: Vulgò, ἱδρῳ· vide Δ. 27.

Ζωον ενι πρωτῳ ὁμαδῳ Τρωεσσι μαχεσθαι.
Τω δ', επιφοσσομενω θανατον και φυζαν ἑταιρων,
Νοσφιν εμαρναθην, επει ὡς επετελλετο Νεστωρ,
Οτρυνων πολεμονδε μελαιναων απο νηων.
Τοις δε πανημεριοις εριδος μεγα νεικος ορωρει
Αργαλεης· καματῳ δε και ἱδροϊ νωλεμες αιει
Γουνατα τε, κνημαι τε, ποδες θ' ὑπενερθε γεκαστου,
Χειρες τ', οφθαλμοι τε, παλασσετο μαρναμενοιο
Αμφ' αγαθον θεραποντα ποδωκεος Αιακιδαο.
Ὡς δ' ὁτ' ανηρ ταυροιο βοος μεγαλοιο βοειην
Λαοισιν δωῃ τανυειν, μεθυουσαν αλοιφῃ·
Δεξαμενοι δ' αρα τοιγε διασταντες τανυουσι
Κυκλοσ', αφαρ δε τε γικμας εβη, δυνει δε τ' αλοιφη,
Πολλων ἑλκοντων, τανυται δε τε πασα διαπρο·
Ὡς οἱγ' ενθα και ενθα νεκυν ολιγῃ ενι χωρῃ
Ἑλκεον αμφοτεροι· μαλα γαρ σφισι γελπετο θυμος,
Τρωσιν μεν γερυειν προτι Γιλιον, αυταρ Αχαιοις
Νηας επι γλαφυρας· περι δ' αυτου μωλος ορωρει
Αγριος· ουδε κ' Αρης λαοσσοος, ουδε κ' Αθηνη
Τονγε γιδουσ' ονοσαιτ', ουδ' ει μαλα μιν χολος ἱκοι.
Τοιον Ζευς επι Πατροκλῳ ανδρων τε και ἱππων
Ηματι τῳ ετανυσσε κακον πονον· ουδ' αρα πω τι
Γοιδεε Πατροκλον τεθνηοτα δios Αχιλλευς·
Πολλον γεγρ' απανευθε νεων μαρναντο θοαων,
Τειχει ὑπο Τρωων· το μιν ουποτε γελπετο θυμῳ
Τεθναμεν, αλλα ζωον, ενιχριμφθεντα πυλῃσιν,

---

387. μαρναμενοιο. pugnantis: id est, γεκαστου, cujusvis. Edd. et MSS. meliores, μαρναμενοιῖν, alii, μαρναμενοισιν. Forsitan etiam, μαρναμενωφιν.

389. Ὡς δ' ὁτ' ανηρ. Nonnulli similitudinem hanc, ut nimis humilem, damnant; imaginem tamen lucidam et aptam præbet.

392. αφαρ δε τε γικμας εβη. statim verò etiam humor it, et subit pinguedo: Vox γικμας non alibi occurrit, nisi in γικμενον ουρον, A. 479. Knightius duos versus damnat, et ἱκμενον ab ἱκω deducit.

404. το μιν ουποτε γελπετο θυμῳ. quare eum nunquam sperabat animo: το pro δια τουτο ponitur, ut Γ. 176, Τ. 213. Alii, το μεν· potuit etiam, τῳ γε, scripsisse. Zenodotus versus duos et viginti damnat. Knightius non nisi 411, et 423.

Αψ απονοστησειν· επει ουδε το ϝελπετο παμπαν,
Εκπερσειν πτολιεθρον ανευ ϝεθεν, ουδε συν αυτῳ.
Πολλακι γαρ τογε μητρος επευθετο, νοσφιν ακουων,
Ἡ ϝοι απαγγελλεσκε Διος ϝμεγαλοιο νοημα.
Δη τοτε γ' ου ϝοι εϝειπε κακον τοσον, ὅσσον ετυχθη,
Μητηρ, ὁϝρα ϝεθιν πολυ φιλτατος ωλεθ' ἑταϝρος.
Οἱ δ' αιει περι νεκρον, ακαχμενα δουρατ' εχοντες,
Νωλεμες εγχριμπτοντο, και αλληλους εναριζον.
Ὡδε δε τις ϝειπεσκεν Αχαιων χαλκοχιτωνων·
Ω φιλοι, ου μαν αμμιν εϋκλεες απονεεσθαι
Νηας επι γλαϕυρας· αλλ' αυτοθι γαια μελαινα
Πασι χανοι, το κεν αμμιν αϕαρ πολυ κερδιον ειη,
Η τουτον Τρωεσσι μεθησομεν ἱπποδαμοισιν
Ϝαστυ ποτι σϕετερον ϝερυσαι, και κυδος αρεσθαι.
Ὡδε δε τις Τρωων ϝμεγαθυμων αυδησασκεν·
Ω φιλοι, ει και ϝμοιρα παρ' ανερι τῳδε δαμηναι
Παντας ὁμως, μη πω τις εϝρωειτω πολεμοιο.
Ὡς αρα τις ϝειπεσκε, μενος δ' ορσασκε ϝεκαστου.
Ὡς οἱ μεν μαρναντο· σιδηρειος δ' ορυμαγδος
Χαλκεον ουρανον ἱκε, δι' αιθερος ατρυγετοιο.
Ἱπποι δ' Αιακιδαο, μαχης απανευθεν εοντες,
Κλαιον, επει δη πρωτα πυθεσθην ἡνιοχοιο
Εν κονιηθι πεσοντος ὑϕ' Ἑκτορος ανδροϕονοιο.
Η μαν Αυτομεδων, Διωρεος αλκιμος υἱος,
Πολλα μεν αρ ϝμαστιγι θοῃ επεμαιετο θεινων,

---

406. επει ουδε το ϝελπετο παμπαν. quoniam neque hoc sperabat omnino: Heynius ϝε pro το proposuit.

411. ὁϝρα ϝεθιν. quòd ei: Vulgò, ὁττι ῥα οἱ.

415. αμμιν. nobis: Vulgò, ἡμιν· sed ultimam producit.

416. αλλ' αυτοθι γαια μελαινα Πασι χανοι.

Sed mihi vel tellus optem priùs ima dehiscat. Æn. iv. 24. xii. 883.

418. Η τουτον. Potiùs quàm hunc: ad Πασι χανοι referendum; ita Σ. 81. Υ. 173. Alii, Ει τουτον. Bentleius μεθησεμεν legere voluit.

423. μενος δ' ορσασκε ϝεκαστου. robur verò excitavit uniuscujusque: In MSS. Eustathius et editiones nonnullæ ἑταιρου habent.

424. σιδηρειος δ' ορυμαγδος. it toto turbida cœlo
Tempestas telorum, et *ferreus* ingruit imber. Æn. xii. 283.

Πολλα δε μειλιχιοισι προσηυδα, πολλα δ' αρειῃ·
Τω δ' ουτ' αψ επι νηας επι πλατυν Ἑλλησποντον
Ηθελετην ιεναι, ουτ' ες πολεμον μετ' Αχαιους·
Αλλ' ὡς τε στηλη μενει εμπεδον, ἡ τ' επι τυμβῳ
Ανερος ἑστηκει τεθνηοτος, ηε γυναικος·
Ὡς μενον ασφαλεως περικαλλεα διφρον εχοντες,
Ουδει ενισκηψαντε καρηατα· δακρυα δε σφιν
Θερμα κατα βλεφαρων χαμαδις ῥεε μυρομενοισιν,
Ἡνιοχοιο ποθῃ· θαλερη δε μιαινετο χαιτη,
Ζευγλης εξεριπουσα παρα ζυγον αμφοτεροισι.
Μυρομενω δ' αρα τωγε ἰδων ελεησε Κρονιων,
Κινησας δε καρη, προτι ον μυθησατο θυμον·
Α δειλω, τι σφωϊ δομεν Πηληϊ ϝανακτι
Θνητοθιν, ὑμεις δ' εστον αγηρω τ', αθανατω τε·
Η ἱνα δυστηνοισι μετ' ανδρασιν αλγε' εχητον;
Ου μεν γαρ τι που εστιν οϊζυρωτερον ανδρος,
Παντων, ὁσσα τε γαιαν επιπνειει τε και ἑρπει.
Αλλ' ου μαν ὑμινγε και ἁρμασι δαιδαλεοισιν
Ἑκτωρ Πριαμιδης εποχησεται· ου γαρ εϝασω.
Ου ϝαλις, ὡς και τευχε' εχει, και επευχεται αυτως;
Σφωϊν δ' εν γουνεσσι βαλω μενος, ηδ' ενι θυμῳ,
Ὀϕρα και Αυτομεδοντα σαωσετον εκ πολεμοιο
Νηας επι γλαϕυρας· ετι γαρ σφισι κυδος ορεξω,
Κτεινειν, εισοκε νηας εϋϕσελμους αϕικωνται,
Δυῃ τ' Ηελιος, και επι κνεϕας ἱερον ελθῃ.

---

426. Ἵπποι δ' Αιακιδαο. Nemo, qui equorum consuetudinem habeat, magistrum eos lugere mirabitur. Hi etiam equi immortales erant. Iidem postea Achillem alloquuntur; T. 408.

Post bellator equus positis insignibus Æthon
It lacrymans, guttisque humectat grandibus ora. Æn. xi. 89.

431. αρειῃ. minis: Αρειας, απειλας, Hesychius.

440. Ζευγλης. Sellæ: cui jugum ligabatur. Nonnulli foramen fuisse dicunt, cui collum inserebatur.

444. Θνητοθιν. Mortali: Vulgò, Θνητῳ· sed vocalis rarò ante aliam in thesi producitur; dativum igitur antiquum substitui; B. 145, 418.

450. Ου ϝαλις; Non satis? Vulgò, Η ουχ ἁλις· vide E. 349.

Ὡς ϝειπων, ἱπποισιν ενεπνευσεν μενος ηϋ·
Τω δ', απο χαιταων κονιην ουδασδε βαλοντε,
Γριμφ' εφερον θοον ἁρμα μετα Τρωας και Αχαιους·
Τοισι δ' επ' Αυτομεδων μαχετ', αχνυμενος περ ἑταϝρου,
Ἱπποις αϊσσων, ὡς τ' αιγυπιος μετα χηνας.
Γρεια μεν αρ φευγεσκεν ὑπ' εκ Τρωων ορυμαγδου,
Γρεια δ' επαϊξασκε πολυν καθ' ὁμιλον οπαζων.
Αλλ' ουχ ἡρει φωτας, ὁτε ϝσευαιτο διωκειν·
Ου γαρ πως ην, οιον εονθ' ἱερῳ ενι διφρῳ,
Εγχει εφορμᾶσθαι, και επισχειν ωκεας ἱππους.
Οψε δε δη μιν ἑταϝρος ανηρ ϝιδεν οφθαλμοισιν
Αλκιμεδων, υἱος Λαερκεος Αιμονιδαο·
Στη δ' οπιθεν διφροιο, και Αυτομεδοντα προσηυδα·
Αυτομεδον, τις τοι νυ Θεων νηκερδεα βουλην
Εν στηθεσσιν εθηκε, και εκϝελετο ϝρενας εσθλας;
Οἱον προς Τρωας μαχεαι πρωτῳ εν ὁμιλῳ
Μουνος· αϝαρ τοι ἑταϝρος απεκτατο· τευχεα δ' Ἑκτωρ
Αυτος εχων ωμοισιν αγαλλεται Αιακιδαο.
Τον δ' αυτ' Αυτομεδων προσεφη, Διωρεος υἱος·
Αλκιμεδον, τις γαρ τοι Αχαιων αλλος ὁμοιος,
Ἱππων αθανατων εχεμεν δμησιν τε μενος τε,
Ει μη Πατροκλος, Θεοειδην μηστωρ αταλαντος,
Ζωος εων; νυν δ' αυ θανατος και ϝμοιρα κιχανει.
Αλλα συ μεν ϝμαστιγα και ἡνια σιγαλοεντα
Δεξαι, εγω δ' ἱππων αποβησομαι, ὁϝρα μαχωμαι.
Ὡς εφατ'· Αλκιμεδων δε βοηθοον ἁρμ' εποϝουσας,
Καρπαλιμως ϝμαστιγα και ἡνια λαζετο χερσιν·
Αυτομεδων δ' απορουσε· νοησε δε φαιδιμος Ἑκτωρ,
Αυτικα δ' Αινειαν προσεφωνεεν εγγυς εοντα·

---

461. αϱ. sanè: Ita Knightius; vulgò, γαϱ, contra metrum.

463. ὁτε ϝσευαιτο διωκειν. quando rueret sequi: MSS. plerique et Edd. ὁτ' εσσευετο διωκειν· duo tamen, ὁτ' εσσευαιτο, quod veram lectionem indicat.

469. νηκερδεα. inutile: a νη, et κερδος.

488. Τῳ κεν ϝελπομην. Quare tum sperarem: Vulgò, εελπομην.

489. εφορμηθεντε γε νωϊν. irruentes quidem in nos: Heynius νωῖ emendat, ut contra grammaticam interpretetur.

Αινεια, Τρωων βουληφορε χαλκοχιτωνων,
Ἵππω τωδ' ενοησα ποδωκεος Αιακιδαο
Ες πολεμον προφανεντε συν ἡνιοχοισι κακοισι·
Τῳ κεν γελποιμην αἱρησεμεν, ει συγε θυμῳ
Σῳ εθελεις· επει ου κεν εφορμηθεντε γε νωϊν
Τλαιεν εναντιβιον σταντες μαχεσασθαι Αρηϊ.
Ὡς εφατ'· ουδ' απιθησεν εὖς παϊς Αγχισαο·
Τω δ' ιθυς βητην, βοεης γειλυμενω ωμους,
Αυησι, στερεῃσι· πολυς δ' επελητο χαλκος·
Τοισι δ' ἁμα Χρομιος τε, και Αρητος θεοειδης,
Ἡϊσαν αμφοτεροι· μαλα δε σφισι γελπετο θυμος
Αυτω τε κτενεειν, ελααν τ' εριαυχενας ἵππους·
Νηπιοι, ουδ' αρ εμελλον αναιμωτι γε νεεσθαι
Αυτις απ' Αυτομεδοντος· ὁ δ', ευξαμενος Διϊ πατρι,
Αλκης και σθενεος πλητο φρενας αμφιμελαινας·
Αυτικα δ' Αλκιμεδοντα προσηυδα, πιστον ἑταῖρον·
Αλκιμεδον, μη δη μοι αποπροθεν ισχεμεν ἵππους,
Αλλα μαλ' εμπνειοντε μεταφρενῳ· ου γαρ εγωγε
Ἕκτορα Πριαμιδην μενεος σχησεσθαι οἴω,
Πριν γ' επ' Αχιλληος καλλιτριχε βημεναι ἵππω,
Νωϊ κατακτειναντα, φοβησαι δε στιχας ανδρων
Αργειων· η κ' αυτος ενι πρωτοισι ϝαλωῃ.
Ὡς ειπων, Αιαντε καλεσσατο, και Μενελαον·
Αιαντ', Αργειων ἡγητορε, και Μενελαε,
Ητοι μεν τον νεκρον επιτραπεθ', ὁσσοι αριστοι,
Αμφ' αυτῳ βεβαμεν, και αμυνεσθαι στιχας ανδρων·
Νωϊν δε ζωοισιν αμυνετε νηλεες ημαρ.
Τῃδε γαρ εβρισαν πολεμον κατα δακρυοεντα
Ἕκτωρ, Αινειας θ', οἱ Τρωων εισιν αριστοι·

---

506. η κ' αυτος ενι πρωτοισι ϝαλωῃ. aut tum ipse in primis capiatur: Potuit, η ϝ' αυτον ενι πρωτοισι ϝαλωναι, scripsisse.

509. τον νεκρον επιτραπεθ', ὁσσοι αριστοι. istud cadaver mandate optimis: id est, τοις αριστοις. Knightius articulum non nisi ubi corpus indicari possit, usurpari censet, sed confer P. 127, 589.

513. Ἕκτωρ Αινειας τε.

Hectoris, Æneæque manu victoria Graiûm
Hæsit, et in decimum vestigia rettulit annum. Æn. xi. 289.

Αλλ' ητοι μεν ταυτα Θεων εν γουνασι κειται·
Ἡσω γαρ και εγω· τα δε κεν Διϊ παντα μελησει.
Η ῥα, και αμπεπαλων προϊει δολιχοσκιον εγχος,
Και βαλεν Αρητοιο κατ' ασπιδα παντοσε ῥισην·
Ἡ δ' ουκ εγχος εῤῥυτο, δια προ δε ῥισατο χαλκος,
Νειαιρη δ' εν γαστρι δια ζωστηρος ελασσεν.
Ὡς δ' ὁτε κ' οξυν εχων πελεκυν αιζηϊος ανηρ,
Κοψας εξοπιθεν κεραων βοος αγραυλοιο,
Γινα ταμῃ δια πασαν, ὁ δε προθορων εριπησιν·
Ὡς αρ ὁγε προθορων πεσεν ὑπτιος· εν δε οἱ εγχος
Νηδυϊοισι μαλ' οξυ κραδαινομενον λυε γυια.
Ἑκτωρ δ' Αυτομεδοντος ακοντισε δουρι φαεινῳ·
Αλλ' ὁ μεν αντα ῥιδων ηλευατο χαλκεον εγχος·
Προσσω γαρ κατεκυψε· το δ' εξοπιθεν δορυ μακρον
Ουδει ενισκιμφθη, επι δ' ουριαχος πελεμιχθη
Εγχεος· ενθα δ' επειτ' αφιει μενος οβριμος Αρης.
Και νυ κε δη ξιφεεσσ' αυτοσχεδον ὡρμηθητην,
Ει μη σφω' Αιαντε διεκριναν μεμαωτε,
Οἱ ῥ' ηλθον καθ' ὁμιλον, ἑταιρου κικλησκοντος.
Τους δ' ὑποταρβησαντες εχωρησαν παλιν αυτις
Ἑκτωρ, Αινειας τ', ηδε Χρομιος θεοειδης·
Αρητον δε κατ' αυθι λιπον, δεδαϊγμενον ητορ,
Κειμενον· Αυτομεδων δε, θοῳ αταλαντος Αρηϊ,
Τευχεα τ' εξεναριξε, και ευχομενος ἑπος ηυδα·
Η δη μαν ολιγον γε Μενοιτιαδαο θανοντος
Κῆρ αχεος μεθεηκα, χερειονα περ καταπεφνων.
Ὡς ἑιπων, ες διφρον εῤῥλων εναρα βροτοεντα
Θηκ', αν δ' αυτος εβαινε, ποδας και χειρας ὑπερθεν
Αἱματοεις, ὡς τις τε λεων κατα ταυρον εδηδως.
Αψ δ' επι Πατροκλῳ τετατο κρατερη ὑσμινη,

---

524. Νηδυϊοισι. Intestinis: Vox non alibi occurrit.
527. Προσσω. Bentleius tres versus damnat; Knightius non nisi 529; vide N. 444. Hic etiam versus 546, et 545 damnat.
551. μιν αυτην. seipsam: Ita Φ. 245, 318, Ω. 472. Vulgò, ἑαυτην.
554. ὁ γαρ ῥεθιν. ille enim ei: Vulgò, ὁ γαρ ῥα οἱ.
564. εσεμασσατο. solicitavit: ab εσμαομαι, Υ. 425.

Αργαλεη, πολυδακρυς· εγειρε δε νεικος Αθηνη,
Ουρανοθεν καταβασα· προηκε γαρ ευρυοπα Ζευς
Ορνυμεναι Δαναους· δη γαρ νοος ετραπετ' αυτου.
Ηϋτε πορφυρεην Γιριν θνητοισι τανυσση
Ζευς εξ ουρανοθεν, τερας εμμεναι η πολεμοιο,
Η και χειμωνος δυσθαλπεος· ὁς ῥα τε ῥεργων
Ανθρωπους ανεπαυσεν επι χθονι, μηλα δε κηδεῖ·
Ὡς ἡ, πορφυρεῃ ῥνεφελῃ πυκασασα μιν αυτην,
Δυσατ' Αχαιων ῥεθος, εγειρε δε φωτα ῥεκαστον.
Πρωτον δ' Ατρεος υἱον εποτρυνασα προσηυδα,
Ιφθιμον Μενελαον, ὁ γαρ ῥεθιν εγγυθεν ηεν,
Ῥεισαμενη Φοινικι δεμας και ατειρεα φωνην·
Σοι μεν δη, Μενελαε, κατηφειη και ονειδος
Εσσεται, ει κ' Αχιλῆος αγαυου πιστον ἑταῖρον
Τειχει ὑπο Τρωων ταχεες κυνες ἑλκυσουσιν·
Αλλ' εχεο κρατερως, οτρυνε δε λαον ἁπαντα.
Την δ' αυτε προσεφειπε βοην αγαθος Μενελαος·
Φοινιξ, ατται γεραιε, παλαιγενες, ει γαρ Αθηνη
Δοιη καρτος εμοι, βελεων δ' απερυκοι εῤῥωην·
Τῳ κεν εγωγ' εθελοιμι παρεσταμεναι και αμυνειν
Πατροκλῳ· μαλα γαρ με θανων εσεμασσατο θυμον·
Αλλ' Ἑκτωρ πυρος αινον εχει μενος, ουδ' αποῤῥηγει
Χαλκῳ δηϊοων· τῳ γαρ Ζευς κυδος οπαζει.
Ὡς φατο· γηθησεν δε Θεα γλαυκωπις Αθηνη,
Ὁῤῥα ῥεθιν παμπρωτα Θεων ηρησατο παντων·
Εν δε βιην ωμοισι και εν γουνεσσιν εθηκε,
Και ῥοι μυιης θαρσος ενι στηθεσσιν ενηκεν,
Ἡ, και εεργομενη, μαλα περ χροος ανδρομεοιο
Ισχαναα δακεειν, λαρον τε ῥοι αἱμ' ανθρωπου·
Τοιου μιν θαρσευς πλησεν φρενας αμφιμελαινας·

---

571. Ἡ, και εεργομενη. Illa, licèt abacta: Ita, Παιδος εεργει μυιαν, Δ. 131. Vulgò, Ἡ τε, και εργομενη· sed hæc forma non alibi in præsenti occurrit. Vide Β. 617, Π. 481, Ψ. 72. Ισκαναα δακεειν. Persistit mordere: εδακον non nisi in aoristo occurrit, et iterum genitivum regit, Σ. 585. λαρον. jucundum: bis in Odysseâ occurrit.

Βη δ' επι Πατροκλῳ, και ακοντισε δουρι φαεινῳ.
Εσκε δ' ενι Τρωεσσι Ποδης, υἱὸς Ηετιωνος,
Αφνειος τ' αγαθος τε· μαλιστα δε μιν τιεν Ἕκτωρ
Δημου, επει οι ἑταιρος εεν φιλος ειλαπιναστης·
Τον ρα κατα ζωστηρα βαλε ξανθος Μενελαος,
Αἴξαντα φοβονδε· δια προ δε χαλκον ελασσε·
Δουπησεν δε πεσων· αφαρ Ατρεϊδης Μενελαος
Νεκρον ὑπ' εκ Τρωων ρερυσεν μετα ρεθνος ἑταιρων.
Ἕκτορα δ' εγγυθεν ἱσταμενος ωτρυνεν Απολλων,
Φαινοπιν Ασιαδη εναλιγκιος, ὃς οι ἀπαντων
Ξεινων φιλτατος εσκεν, Αβυδοθι ροικια ναιων·
Τῳ μιν ρεισαμενος προσεφη ἑκαεργος Απολλων·
Ἕκτορ, τις κε σ' ετ' αλλος Αχαιων ταρβησειεν;
Οἷον δη Μενελαον ὑπετρεσας, ὃς το παρος περ
Μαλθακος αιχμητης, νυν δ' οιχεται οιος αειρας
Νεκρον ὑπ' εκ Τρωων· σον δ' εκτανε πιστον ἑταιρον,
Εσθλον ενι προμαχοισι, Ποδην, υἱὸν Ηετιωνος.
Ὡς φατο· τον δ' αχεος ρνεφελη εκαλυψε μελαινα·
Βη δε δια προμαχων κεκορυθμενος αιθοπι χαλκῳ.
Και τοτ' αρα Κρονιδης ρελετ' αιγιδα θυσανοεσσαν,
Μαρμαρεην, Ιδην δε κατα ρνεφεεσσι καλυψεν·
Αστραψας δε, μαλα ρμεγαλ' εκτυπε· την δ' ετιναξε·
Νικην δε Τρωεσσι διδου, εφοβησε δ' Αχαιους.
Πρωτος Πηνελεος Βοιωτιος ηρξε φοβοιο·
Βλητο γαρ ωμον δουρι, προσω τετραμμενος αιει,
Ακρον, επιρλιγδην· γραψεν δε οι οστεον αχρις
Αιχμη Πουλυδαμαντος· ὁ γαρ ῥ' εβαλε σχεδον ελθων.
Λητον αυθ' Ἕκτωρ σχεδον ουτασε χειρ' επι καρπῳ,

---

575. υἱὸς. filius: Vulgò, υἱος, hìc et 590; vide A. 489.

585. Τῳ. Versus a melioribus codicibus abest.

599. Ακρον, επιρλιγδην. Ad summum humerum, leviter: Vulgò, επιλιγδην sed Hesychius επιλλιγδην habet, quod digamma indicat. Potuit etiam επιγραβδην scripsisse.

608. Δευκαλιδαο. Deucalionis filius: Cod. Harl. δουρι φαεινῳ habet, quod Knightius edidit; cùm forma regularis Δευκαλιωνιδης esset; sed nomen

Υἱον Αλεκτρυονος ϝμεγαθυμου· παυσε δε χαρμης.
Τρεσσε δε παπτηνας, επει ουκετι ϝελπετο θυμῳ
Εγχος εχων εν χειρι μαχησεσθαι Τρωεσσιν.
Ἕκτορα δ' Ιδομενευς μετα Λητϊον ὁρμηθεντα
Βεβληκει θωρηκα κατα στηθος παρα μαζον·
Εν καυλῳ δ' εαγη δολιχον δορυ· τοι δ' εβοησαν
Τρωες· ὁ δ' Ιδομενηος ακοντισε Δευκαλιδαο
Διφρῳ εφεσταοτος· του μεν ϝρ' απο τυτθον ἁμαρτεν·
Αυταρ ὁ Μηριονεω βαλ' οπαονα θ', ἡνιοχον τε,
Κοιρανον, ὃς ϝρ' εκ Λυκτου εϋκτιμενης ἑπετ' αυτῳ·
Πεζος γαρ τα πρωτα, λιπων νεας αμφιελισσας,
Ηλυθε, και κεν Τρωσι ϝμεγα κρατος εγγυαλιξεν,
Ει μη Κοιρανος ωκα ποδωκεας ηλασεν ἵππους·
Και τῳ μεν φαος ηλθεν, αμυνε δε νηλεες ἡμαρ·
Αυτος δ' ωλεσε θυμον ὑφ' Ἕκτορος ανδροφονοιο·
Τον βαλ' ὑπο γναθμοιο και ουατος, εκ δ' αρ οδοντας
Ωσε δορυ πρυμνον, δια δε γλωσσαν ταμε μεσσην·
Ηριπε δ' εξ οχεων, κατα δ' ἡνια χευεν εραζε·
Και ταγε Μηριονης εϝλαβεν χειρεσσι φιλῃσι
Κυψας εκ πεδιοιο, και Ιδομενηα προσηυδα·
Ϝμαστιε νυν, εἰος κε θοας επι νηας ἱκηαι·
Γινωσκεις δε και αυτος, ὁτ' ουκετι καρτος Αχαιων.
Ὡς εφατ'· Ιδομενευς δ' ιϝμασεν καλλιτριχας ἵππους
Νηας επι γλαφυρας· δῃ γαρ δεος εμπεσε θυμῳ·
Ουδ' ελαθ' Αιαντα ϝμεγαλητορα και Μενελαον
Ζευς, ὁτε δῃ Τρωεσσι διδου ἑτεραλκεα νικην·
Τοισι δε μυθων ηρχε ϝμεγας Τελαμωνιος Αιας·
Ω ποποι, ηδη μεν κε, και ὃς μαλα νηπιος εστι,

---

patris formâ patronymicum est. Ita Ανθεμιδης, Anthemionis filius; Δ. 488.

610. Αυταρ ὁ Μηριονεω βαλ' οπαονα. At ille Merionis percussit comitem: Verbum e versu 617 arcessivi; potuit etiam Μηριονηϊν οπαονα scripsisse. Vulgò, Μηριονεο οπαονα, contra metrum. Knightius duos versus damnat, ut et 638.

629. ηδη μεν κε. nunc quidem tum: Alii, ηδη μεν γε· vide O. 211.

Γνοιη, ὁτε Τρωεσσι πατηρ Ζευς κυδος οπαζει.
Των μεν γαρ παντων βελε' ἁπτεται, ὁστις αφειῃ,
Η κακος, η αγαθος· Ζευς δ' εμπης παντ' ιθυνει·
Ἡμιν δ' αυτως πασι μετωσια πιπτει εραζε.
Αλλ' αγετ', αυτοι περ φραζωμεθα μητιν αριστην,
Ημεν ὁπως τον νεκρον εγρυσσομεν, ηδε και αυτοι
Χαρμα φιλοις ἑταροισι γενοιμεθα νοστησαντες·
Οἱ που δευρ' ὁρωντες ακηχεδατ', ουδ' ετι φασιν
Ἑκτορος ανδροφονοιο μενος και χειρας ἀαπτους
Σχησεσθ', αλλ' εν νηυσι μελαινῃσιν πεσεεσθαι.
Ειη δ' ὁστις ἑταρος απαγγειλειε ταχιστα
Πηλειδῃ· επει ου μιν οϊομαι ουδε πεπυσθαι
Λυγρης αγγελιης, ὁ μεθιν φιλος ωλεθ' ἑταρος.
Αλλ' ουπη δυναμαι γιδεειν τοιουτον Αχαιων·
Νερι γαρ κατεχονται ὁμως αυτοι τε και ἱπποι.
Ζευ πατερ, αλλα συ ρυσαι ὑπ' νερος υἱας Αχαιων,
Ποιησον δ' αιθρην, δος δ' οφθαλμοισι γιδεσθαι·
Εν δε φαει και ολεσσον, επει νυ τοι ευαδεν οὕτως.
Ὡς φατο· τον δε πατηρ ολοφυρατο δακρυχεοντα·
Αυτικα δ' νερα μεν σκεδασεν, και απωσεν ομιχλην·
Ηελιος δ' επελαμψε, μαχη δ' επι πασα φαανθη·
Και τοτ' αρ Αιας ειπε βοην αγαθον Μενελαον·
Σκεπτεο νυν, Μενελαε Διοτρεφες, αι κε γιδηαι
Ζωον ετ' Αντιλοχον, ρμεγαθυμου Νεστορος υἱον·
Οτρυνον δ' Αχιλῃϊ δαϊφρονι θασσον ιοντα
Ειπειν, ὁρα μεθιν πολυ φιλτατος ωλεθ' ἑταρος.
Ὡς εφατ'· ουδ' απιθησε βοην αγαθος Μενελαος·

---

630. ὁτε. quòd: Ita P. 627; vulgò, ὁτι· vide A. 244.

635. ὁπως τον νεκρον εγρυσσομεν. quomodo hoc corpus trahamus: Bentleius, νεκρον τε γερυσσομεν, sed nihil opus.

636. γενοιμεθα. fieremus: Ita Edd. Vett. Alii, γενωμεθα.

637. ακηχεδαται. dolore afficiuntur: Ita MSS. et Hesychius; Ed. Pt. ακηχεατ' habet, ut Trollopius edidit.

639. Σχησεσθαι. Substituras: Sic I. 235, 651. Heynius et Knightius versum præcedentem damnant, sed pro Hectore ipso ponitur.

Βη δ' ιεναι, ὡς τις τε λεων απο μεσσαυλοιο,
Ὃς τ' επει αρ κε καμησι κυνας τ' ανδρας τ' ερεθιζων,
Οἱ τε μιν ουκ εφωσι βοων εκ πιαρ εξλεσθαι,
Παννυχοι εγρησσοντες· ὁ δε, κρεατων ερατιζων, 660
Ιθυει, αλλ' ουτι πρησσει· θαμεες γαρ ακοντες
Αντιοι αϊσσουσι θρασειαων απο χειρων,
Καιομεναι τε δεται, τας τε τρεει εφυμενος περ·
Ηοοθεν δ' απονοσφιν εβη τετιηοτι θυμῳ·
Ὡς απο Πατροκλοιο βοην αγαθος Μενελαος 665
Ηϊε πολλ' αφεκων· περι γαρ δια, μη μιν Αχαιοι
Αργαλεου προ φοβοιο φελωρ δαϊοισι λιποιεν·
Πολλα δε Μηριονῃ τε και Αιαντεσσι κελευεν·
Αιαντ', Αργειων ἡγητορε, Μηριονη τε,
Νυν τις ενηεις Πατροκλεος δειλοιο 670
Μνησασθω· πασιν γαρ επιστατο μειλιχος ειναι
Ζωος εων· νυν δ' αυ θανατος και μοιρα κιχανει.
Ὡς αρα φωνησας απεβη ξανθος Μενελαος,
Παντοσε παπταινων, ὡς τ' αιετος, ὃν φα τε φασιν
Οξυτατον δερκεσθαι ὑπουρανιων πετεηνων, 675
Ὃν τε και ὑψοθ' εοντα ποδας ταχυς ουκ ελαθε πτωξ,
Θαμνῳ ὑπ' αμφικομῳ κατακειμενος· αλλα τ' επ' αυτῳ
Εφυτο, και τε μιν ωκα φλαβων εξεφλετο θυμον·
Ὡς τοτε σοι, Μενελαε Διοτρεφες, οσσε φαεινω
Παντοσε δινεισθην, πολεων κατα φεθνος ἑταφρων, 680
Ει που Νεστορος υἱον ετι ζωοντα φιδοιο.
Τον δε μαλ' αιψ' ενοησε, μαχης επ' αριστερα πασης,
Θαρσυνονθ' ἑταφρους, και εποτρυνοντα μαχεσθαι·

---

647. Εν δε φαει και ολεσσον. In luce verò etiam perde: Longinus versum hunc nobilem laudat. §. 9.

653. φμεγαθυμου. Alii, μεγαθυμον· vide P. 306.

657. ὡς τις τε λεων. Vide Λ. 547, ubi eadem est similitudo.

658. επει αρ κε καμησι. quando sanè laboret: Ita Edd. Vett. Alii, κεκαμησι· A. 168.

667. Αργαλεου προ φοβοιο. Diram ante fugam: Malè grammatici, ob timorem, vertunt.

672. νυν φ' αυ. nunc eum rursus: MSS. νυν αυ, et νυν δ' αυ· sed pronomen postulatur.

Αγχοθι δ' ἱσταμενος προσεφη ξανθος Μενελαος·
Αντιλοχ', ει δ' αγε δευρο, Διοτρεφες, ὁφρα πυθηαι
Λυγρης αγγελιης, ἡ μη ωφελλε γενεσθαι.
Ηδη μεν σε και αυτον οϊομαι εισοροωντα
Γινωσκειν, ὁτε πημα Θεος Δαναοισι κυλινδει,
Νικη δε Τρωων· πεφαται δ', ὁς αριστος Αχαιων,
Πατροκλος, μεγαλη δε ποθη Δαναοισι τετυκται.
Αλλα συγ' αιψ' Αχιληϊ, θεων επι νηας Αχαιων,
Γειπειν, αι κε ταχιστα νεκυν επι νηα σαωση
Γυμνον· αφαρ ταγε τευχε' εχει κορυθαιολος Ἕκτωρ.
Ὡς εφατ'· Αντιλοχος δε κατεστυγε, μυθον ακουσας·
Δην δε μιν αμφασιη γεπεων γλαβε· τω δε οι οσσε
Δακρυοφιν πλησθεν, θαλερη δε οι εσχετο φωνη.
Αλλ' ουδ' ὡς Μενελαου εφημοσυνης αμελησε·
Βη δε θεειν, τα δε τευχε' αμυμονι δωκεν ἑταιρῳ
Λαοδοκῳ, ὁς οι σχεδον εστρεφε μωνυχας ἱππους·
Τον μεν δακρυχεοντα ποδες φερον εκ πολεμοιο,
Πηλειδῃ Αχιληϊ κακον γεπος αγγελεοντα.
Ουδ' αρα σοι, Μενελαε Διοτρεφες, ηθελε θυμος
Τειρομενοις ἑταιροισιν αμυνεμεν, ενθεν απηλθεν
Αντιλοχος, μεγαλη δε ποθη Πυλιοισιν ετυχθη·
Αλλ' ὁγε τοισιν μεν Θρασυμηδεα διον ανηκεν,
Αυτος δ' αυτ' επι Πατροκλῳ ἡρωϊ βεβηκει·
Στη δε παρ' Αιαντεσσι κιων, ειθαρ δε προσηυδα·
Κεινον μεν δη νηυσιν επιπροεηκα θοῃσιν,
Ελθειν εις Αχιληα ποδας ταχυν· ουδε μιν οιω
Νυν ιεναι, μαλα περ κεχολωμενον Ἕκτορι διῳ·

---

689. ὁς αριστος. qui optimus: Vulgò, ωριστος· vide Α. 288, Π. 521.
694. κατεστυγε. inhorruit: iterum occurrit, Od. κ. 113.
695. αμφασιη γεπεων. nulla verborum elocutio: a φημι· iterum occurrit, Od. δ. 704. Alii, αφασιη. Knightius duos versus damnat.
714. φυγοιμεν. fugeremus: Ita Edd. et MSS. Tres φυγωμεν habent.
722. αγκαζοντο. brachiis tulerunt: Verbum non alibi occurrit. Forsitan, αγκας αειραν, legendum.
724. ὡς εϝιδον νεκυν αειροντας Αχαιους. ut viderunt corpus tollentes Achivos: MSS. et Edd. ὡς ιδον νεκυν αιροντας Αχαιους, metro imperfecto; verbum αιρω insuper non alibi in Homero occurrit; formam igitur usitatam exhibui.

Ου γαρ πως κεν γυμνος εων Τρωεσσι μαχοιτο·
Ἡμεις δ' αυτοι περ φραζωμεθα μητιν αριστην,
Ημεν ὁπως τον νεκρον εφρυσσομεν, ηδε και αυτοι
Τρωων εξ ενοπης θανατον και κηρα φυγοιμεν.
Τον δ' ημειβετ' επειτα μεγας Τελαμωνιος Αιας· 715
Παντα κατ' αισαν εφεπες, αγακλεες ω Μενελαε·
Αλλα συ μεν, και Μηριονης, ὑποδυντε μαλ' ωκα,
Νεκρον αειραντες φερετ' εκ πονου· αυταρ οπισσω
Νωϊ μαχησομεθα Τρωσιν τε και Ἑκτορι διῳ,
Ισον θυμον εχοντες ὁμωνυμοι, οἱ το παρος περ 720
Μιμνομεν οξυν Αρηα παρ' αλληλοισι μενοντες.
Ὡς εφαθ'· οἱ δ' αρα νεκρον απο χθονος αγκαζοντο
Ὑψι μαλα μεγαλως· επι δ' ιαχε λαος οπισθε
Τρωϊκος, ὡς εἰδον νεκυν αειροντας Αχαιους·
Ιθυσαν δε, κυνεσσι εοικοτες, οἵ τ' επι καπρῳ 725
Βλημενῳ αἰξωσι προ κουρων θηρητηρων·
Τειος μεν τε θεουσι, διαῤῥαισαι μεμαωτες·
Αλλ' ὁτε δη ῥ' εν τοισι ελιξεται, αλκι πεποιθως,
Αψ τ' ανεχωρησαν, δια τ' ετρεσαν αλλυδις αλλος·
Ὡς Τρωες, τειος μεν ὁμιλαδον αιεν ἑποντο, 730
Νυσσοντες ξιφεσιν τε και εγχεσιν αμφιγυοισιν·
Αλλ' ὁτε δη ῥ' Αιαντε μεταστρεφθεντε κατ' αυτους
Σταιησαν, τωνδε τρεπετο χρως, ουδε τις ετλη
Προσσω αἰξας, περι νεκρου δηριαασθαι.
Ὡς οἱγ' εμμεμαωτε νεκυν φερον εκ πολεμοιο 735
Νηας επι γλαφυρας· επι δε πτολεμος τετατο σφιν
Αγριος, ηὔτε πυρ, το τ' επεῤῥυμενον, πολιν ανδρων

Αειρω quidem non alibi primam producit, sed prima ex quatuor syllabis, ut in Απολλωνος, A. 14, positione produci potest; et ita αορι sæpe primam producit, ut Υ. 290. Potuit etiam, αγκας εχοντας, vel, ὑψι φεροντας, vel, ὡς τον νεκρον αειροντας βιβ' Αχαιους, scripsisse. Alii, ειδοντο, emendant.

727. Τειος μεν τε θεουσι. Tamdiu quidem currunt: Vulgò, Ἑως μεν γαρ τε θεουσι· ubi particulæ malè cumulantur, et ἑως loco non convenit. Ut εἰος pro εις ὁ, ita τειος pro εις το. Vide A. 193, Υ. 42, P. 730.

730. τειος. tamdiu: Vulgò, εἰως, quamdiu; vide P. 727.

737. ηὔτε πυρ. Hæc tanta imaginum congeries varietatem pulcherrimam habet; ut Popius monuit.

Ορμενον εξαιφνης φλεγεθει, μινυθουσι δε φοικοι
Εν σελαϊ φμεγαλῳ· βρεμεται δε τε φις ανεμοιο·
Ὡς μεν τοις ἱππων τε και ανδρων αιχμηταων
Αζηχης ορυμαγδος επηϊεν ερχομενοισιν.
Οἱ δ', ὡς θ' ἡμιονοι, κρατερον μενος αμφιβαλοντες,
Ἑλκωσ' εξ ορεος κατα παιπαλοεσσαν αταρπον,
Η δοκον, ηε δορυ φμεγα νηϊον· εν δε τε θυμος
Τειρεθ' ὁμου καματῳ τε και ἱδροι σπευδοντεσσιν·
Ὡς οἱγ' εμμεμαωτε νεκυν φερον· αυταρ οπισθεν
Αιαντ' ισχανετην, ὡς περ πρων ισχανει ὑδωρ
Ὑληεις, πεδιοιο διαπρυσιον τετυχηκως·
Ὅς τε και ιφθιμων ποταμων αλεγεινα φρεεθρα
Ισχει, αφαρ δε τε πασι φροον πεδιονδε τιθησι
Πλαζων, ουδε τι μιν σθενεϊ φρηγνυσι φρεοντες·
Ὡς αιει Αιαντε μαχην ανεεργον οπισσω
Τρωων· οἱ δ' ἁμ' ἑποντο, δυω δ' εν τοισι μαλιστα,
Αινειας τ' Αγχισιαδης, και φαιδιμος Ἑκτωρ.
Των δ' ὡς τε ψαρων φνεφος ερχεται, ηε κολοιων,
Φουλον κεκληγοντες, ὁτε προφιδωσιν ιονται
Κιρκον, ὁ τε σμικρῃσι φονον φερει ορνιθεσσιν·
Ὡς αρ ὑπ' Αινειᾳ τε και Ἑκτορι κουροι Αχαιων
Φουλον κεκληγοντες ισαν, ληθοντο δε χαρμης·
Πολλα δε τευχεα καλα πεσον περι τ' αμφι τε ταφρον,
Φευγοντων Δαναων· πολεμου δ' ου γινετ' εφρωη.

---

739. *Βρεμεται δε τε φις ανεμοιο.* fremit verò vis venti: Vulgò, *το δ' επιβρεμει ις ανεμοιο'* quod in digamma et grammaticam peccat. Vide B. 210, Δ. 425, Ξ. 399.

756. *Φουλον κεκληγοντες.* Confusè clamitantes: vide B. 6.

757. *σμικρῃσι.* parvis: Forsitan *φμικρῃσι* legendum, cùm aliam formam *μικρος* habeat; E. 801. Tum verò *φμειων, φμινυθω, φμινυθα*, et *φμινυρομαι* scribendum esset; vide Υ. 242.

760. *Πολλα.* Knightius duos versus damnat.

ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Σ.

ARGUMENTA.

Ὁπλοποια.

Σιγμα, Θετις Αχιλῆι παρ' Ἡφαιστου πορεν ὁπλα.

1. Antilochus Achilli mortem Patrocli nuntiat.—35. Thetis gemitu audit, et Nymphis comitata accedit.—78. Achilles Patrocli mortem matri narrat, et, etiam suæ vitæ pretio, ulcisci velle profitetur.—127. Thetis ei arma pollicetur.—147. Achivi fugientes corpus secum ferre nequeunt.—203. Achilles, Junonis monitu, a muris clamat, et Trojanos terret.—231. Achivi corpus reportant, et Juno Solis occasum accelerat.—249. Polydamas Trojanos in urbem se recipere hortatur.—284. Hector eum increpat et in planitie manere jubet.—314. Achilles Patroclum luget.—343. Corpus lavatur.—369. Thetis Vulcanum petit.—283. Charis eam blande accipit, et Vulcanum advocat.—393. Vulcanus Thetidis in se beneficia memorat.—412. Instrumenta artis reponit.—428. Thetis a Vulcano arma filio poscit.—467. Vulcanus operi se accingit.—478. Scutum fabricat.—483. Terram, Cœlum, Solem, Lunam, et Sidera format.—490. Tum duas urbes, in quibus matrimonium, orationem, judicium, concilium, insidias et prœlium exhibet.—541. Deinde opera agraria, arationem, messem, vindemiam, armenta, pecudes, et chorum depingit.—606. Postremo Oceanum circumdat.—608. Thoracem, galeam, et ocreas addit.—611. Arma Thetidi tradit.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Σ.

Ὡς οἱ μεν μαρναντο δεμας πυρος αιθομενοιο.
Αντιλοχος δ' Αχιλῆι ποδας ταχυς αγγελος ηλθε.
Τον δ' εὑρε προπαροιθε νεων ορθοκραιραων,
Το φρονεοντ' ανα θυμον, ὁ δη τετελεσμενον ηεν·
Οχθησας δ' αρα ϝειπε προτι ϝμεγαλητορα θυμον·
Ω μοι εγω, τι τ' αρ αυτε καρηκομοωντες Αχαιοι
Νηυσιν επικλονεονται, ατυζομενοι πεδιοιο;
Μη δη μοι τελεσωσι Θεοι κακα κηδεα θυμῳ,
Ὡς ποτε μοι μητηρ διεπεφραδε, και μοι εϝειπε,
Μυρμιδονων τον αριστον, ετι ζωοντος εμειο,
Χερσιν ὑπο Τρωων λειψειν φαος Ηελιοιο.
Η μαλα δη τεθνηκε Μενοιτιου αλκιμος υἱος,
Σχετλιος· η ῥ' εκελευον, απωσαμενον δαϊον πυρ,
Αψ επι νηας ιμεν, μηδ' Εκτορι ϝιφι μαχεσθαι.
Εἰος ὁ ταυθ' ὡρμαινε κατα φρενα και κατα θυμον,
Τοϝρα οἱ εγγυθεν ηλθεν αγαυου Νεστορος υἱος,
Δακρυα θερμα χεων, φατο δ' αγγελιην αλεγεινην·
Ω μοι, Πηλεος υἱε δαϊφρονος, η μαλα λυγρης
Πευσεαι αγγελιης, ἡ μη ωφελλε γενεσθαι.
Κειται Πατροκλος· νεκυος δε δη αμφιμαχονται
Γυμνου· αϝαρ ταγε τευχε' εχει κορυθαιολος Εκτωρ.

---

1. Ὡς οἱ μεν. Knightius, præter secundum, sedecim versus damnat.
4. Το φρονεοντ' ανα θυμον. Id reputans in animo, quod revera perfectum erat: Vulgò, Τα φρονεοντ' ανα θυμον, ἁ δη τετελεσμενα ηεν· quod tantundem est, sed hiatus in metrum peccat.
5. προτι. Vulgò, προς ὀν· vide Λ. 403.
13. η ϝε. certè eum: Vulgò, η τε.
20. Κειται Πατροκλος. "Narrare verò quis breviùs potest, quam qui mortem narrat Patrocli?" Quintilian. lib. x. c. 1.

Ὣς φατο· τον δ' αχεος ϝνεφελη εκαλυψε μελαινα·
Αμφοτερῃσι δε χερσι ϝελων κονιν αιθαλοεσσαν,
Χευατο κακκεφαλης, χαριεν δ' ῃσχυνε προσωπον·
Νεκταρεῳ δε χιτωνι μελαιν' αμφιζανε τεφρη.
Αυτος δ' εν κονιῃθι ϝμεγας ϝμεγαλωστι τανυσθεις
Κειτο, φιλῃσι δε χερσι κομην ῃσχυνε δαϊζων.
Δμωαι δ', ἁς Αχιλευς λῃϊσατο, Πατροκλος τε,
Θυμον ακηχεμεναι ϝμεγαλ' ιαχον, εκ δε θυραζε
Εδραμον αμφ' Αχιληα δαϊφρονα· χερσι δε πασαι
Στηθεα πεπληγοντο, λυθεν δ' ὑπο γυια ϝεκαστης.
Αντιλοχος δ' ἑτερωθεν οδυρετο, δακρυα λειβων,
Χειρας εχων Αχιλῆος· ὁ δ' εστενε κυδαλιμον κῆρ·
Εδδιε γαρ μη λαιμον αποτμηξειε σιδηρῳ.
Σμερδαλεον δ' ὠμωξεν· ακουσε δε ποτνια μητηρ,
Ἡμενη εν βενθεσσιν ἁλος, παρα πατρι γεροντι,
Κωκυσεν τ' αρ επειτα· Θεαι δε μιν αμφαγεροντο
Πασαι, ὁσαι κατα βενθος ἁλος Νηρηϊδες ησαν·
Ενθ' αρ εεν Γλαυκη τε, Θαλεια τε, Κυμοδοκη τε,
Νησαιη, Σπειω τε, Θοη θ', Ἁλιη τε βοωπις,
Κυμοθοη τε, και Ακταιη, και Λιμνωρεια,
Και Μελιτη, και Ιαιρα, και Αμφιθοη, και Αγαυη,
Δωτω τε, Πρωτω τε, Φερουσα τε, Δυναμενη τε,
Δεξαμενη τε, και Αμφινομη, και Καλλιανειρα,
Δωρις, και Πανοπη, και αγακλειτη Γαλατεια,
Νημερτης τε, και Αψευδης, και Καλλιαναασσα·
Ενθα δ' εεν Κλυμενη, Γιανειρα τε, και Γιαναασσα,

---

23. κονιν. Canitiem immundo deformat pulvere. Æn. x. 844.

32. Αντιλοχος. Flet quidem Antilochus; Achillis verò dolor immensus lacrymas non admittit.

34. Εδδιε γαρ. Metuebat enim: Ita, περι γαρ διε, E. 566, et εδδεισεν, A. 33: veram scripturam Εδριε fuisse opinor. Vulgò, Δειδιε· sed δειδια, vel δεῖμι, non nisi sensum præsentem habet; K. 93. Hesychius, Ειδειεν, εφοβουντο, πνιᾶτο, habet; videtur igitur, hîc Ειδιεν, et A. 33, ειδεισεν, legisse, ι inserto ad vim duplicem in hoc verbo litteræ δ indicandam; εδδεισεν enim non habet. Confer Ω. 358.

39. Ενθ' αρ εεν. Zenodotus et Knightius versus undecim damnant.

Μαιρα, και Ωρειθυια, και ευπλοκαμος Αμαθεια·
Αλλαι θ', αἱ κατα βενθος ἁλος Νηρηϊδες ησαν.
Των δε και αργυφεον πλητο σπεος· αἱ δ' ἁμα πασαι
Στηθεα πεπληγοντο· Θετις δ' εξηρχε γοοιο·
Κλυτε, κασιγνηται Νηρηϊδες, ὁφρ' εϋ πασαι
Γειδετ' ακουουσαι, ὁσ' εμῳ ενι κηδεα θυμῳ.
Ω μοι εγω δειλη, ω μοι δυσαριστοτοκεια,
Ἡ τ' επει αρ τεκον υἱον αμυμονα τε, κρατερον τε,
Εξοχον ἡρωων, ὁ δ' ανεδραμεν ερνεϊ ἰσος,
Τον μεν εγω θρεψασα, φυτον ὡς γουνῳ αλωης,
Νηυσιν επιπροεηκα κορωνισι Γιλιον εισω,
Τρωσι μαχησομενον· τον δ' ουχ ὑποδεξομαι αυτις
Γοικαδε νοστησαντα, δομον Πηληϊον εισω.
Ὁφρα δε μοι ζωει, και ὁρᾷ φαος ηελιοιο,
Αχνυται, ουδε τι ϝοι δυναμαι χραισμησαι ιουσα.
Αλλ' ειμ', ὁφρα ϝιδοιμι φιλον τεκος, ηδ' επακουσω,
Ὁ ϝρα μιν ἱκετο πενθος, απο πτολεμοιο μενοντα.
Ὡς αρα φωνησασα, λιπε σπεος· αἱ δε συν αυτῃ
Δακρυοεσσαι ισαν, περι δε σφισι κυμα θαλασσης
Ϝρηγνυτο· ται δ' ὁτε δῃ Τροϊην εριβωλον ἱκοντο,
Ακτην εισανεβαινον επισχερω, ενθα θαμειαι
Μυρμιδονων εϝρυντο νεες ταχυν αμϕ' Αχιλῆα.
Τῳ δε βαρυστεναχοντι παριστατο ποτνια μητηρ,
Ὀξυ δε κωκυσασα καρη ϝλαβε παιδος εϝοιο·
Και ῥ' ολοϕυρομενη ϝεπεα πτεροεντα προσηυδα·
Τεκνον, τι κλαιεις; τι δε σε ϕρενας ἱκετο πενθος;

---

47. Γιανειρα τε, και Γιανασσα. Ita Bentleius; και enim ante vocalem produci nequit.

48. και ευπλοκαμος Αμαθεια. et bene crinita Amathea: Vulgò, εϋπλοκαμος τ' Αμαθεια. Bentleius, ηϋπλοκαμος. Forsitan, ϝιοπλοκαμος, nigris capillis, quod in Apollonio Rhodio, et Hesychio legitur.

63. Αλλ' ειμ', ὁφρα ϝιδοιμι φιλον τεκος. At eo, ut viderem carum filium, et audiam: Ita MSS. et ita, πειρησομαι, αι κε τυχοιμι, E. 279, H. 243. Edd. Vett. ἰδωμαι habent contra metrum; in promptu tamen est εμον emendare. Wolfius, ἰδωμι, edidit, ut sit forma subjunctivi. Vide A. 60.

66. περι δε σφισι κυμα θαλασσης.

Curvata in montis speciem circumstetit unda. Georgic. iv. 360.

Εξαυδα, μη κευθε· τα μεν δη τοι τετελεσται
Εκ Διος, ὡς αρα δη πριν γ' ευχεο, χειρας ανασχων,
Παντας επι πρυμνησι ϝαλημεναι υἱας Αχαιων,
Σευ επιδευομενους, παθεειν τ' αϝεκηλια ϝεργα.
Την δε βαρυστεναχων προσεφη ποδας ωκυς Αχιλλευς·
Μητερ εμη, τα μεν αρ μοι Ολυμπιος εξετελεσσεν·
Αλλα τι μοι των ϝηδος, επει φιλος ωλεθ' ἑταϝρος,
Πατροκλος; τον εγω περι παντων τιον ἑταϝρων,
Ϝισον εμῃ κεφαλῃ, τον απωλεσα· τευχεα δ' Εκτωρ
Δαιωσας απεδυσε πελωρια, θαυμα ϝιδεσθαι,
Καλα· τα μεν Πηληϊ Θεοι δοσαν, αγλαα δωρα,
Ηματι τῳ, ὁτε σε βροτου ανερος εμβαλον ευνῃ.
Ὡς οφελες συ μεν αυθι μετ' αθανατῃς ἁλιῃσι
Ναιειν, Πηλευς δε θνητην αγαγεσθαι ακοιτιν.
Νυν δ' ἱνα και σοι πενθος ενι ϕρεσι μυριον ειη
Παιδος αποφθιμενοιο, τον ουχ ὑποδεξεαι αυτις
Ϝοικαδε νοστησαντ'· επει ουδ' εμε θυμος ανωγε
Ζωειν, ουδ' ανδρεσσι μετεμμεναι, αι κε μη Εκτωρ
Πρωτος εμῳ ὑπο δουρι τυπεις απο θυμον ολεσσῃ,
Πατροκλοιο δ' εϝλωρα Μενοιτιαδεω αποτισῃ.
Τον δ' αυτε προσεϝειπε Θετις κατα δακρυ χεουσα·
Ωκυμορος δη μοι, τεκος, εσσεαι, οἱ' αγορευεις·
Αυτικα γαρ τοι επειτα μεθ' Εκτορα ποτμος ἑτοιμος.
Την δε ϕμεγ' οχθησας προσεφη ποδας ωκυς Αχιλλευς·
Αυτικα τεθναιην, επει ουκ αρ εμελλον ἑταϝρῳ
Κτεινομενῳ επαμυναι· ὁ μεν μαλα τηλοθι πατρης
Εφθιτ'· εμειο δ' εδησε ϝαρης αλκτηρα γενεσθαι.
Νυν δ' επει ου νεομαι γε φιλην ες πατριδα γαιαν,

---

76. ϝαλημεναι. cogi: a ϝειλεω· verbo ϝελσαι respondet, A. 409.
77. αϝεκηλια. inquieta: a ϝεκηλος· vel indigna, pro αϝεικελια.
93. Πατροκλοιο δ' εϝλωρα. Patrocli verò captus: vel, Πατροκλου δε ϝελωρα. Forma ϝελωρα non alibi occurrit, nec ϝελωρια, nisi A. 4; ϝελωρ passim occurrit. Forsitan, αποινα, legendum.
100. εμειο δ' εδησε. mei verò obligavit damni ultorem esse: id est, meam operam. Porphyrius aliique, me verò indiguit, explicant; sed δεω non

Ουδε τι Πατροκλῳ γενομην φαος, ουδ' ἑταιροισι
Τοις αλλοις, οἱ δη πολεες δαμεν Ἑκτορι διῳ·
Αλλ' ἡμαι παρα νηυσι ϝετωσιον αχθος αρουρης,
Τοιος εων, ὡς ουτις Αχαιων χαλκοχιτωνων,
Εν πολεμῳ· αγορῃ δε τ' αμεινονες εισι και αλλοι.
Ὡς ερις εκ τε Θεων, εκ τ' ανθρωπων απολοιτο,
Και χολος, ὁς τ' εφηκε πολυφρονα περ χαλεπηναι·
Ὁς τε πολυ γλυκιων μελιτος καταλειβομενοιο
Ανδρων εν στηθεσσιν αεξεται, ηὔτε καπνος·
Ὡς εμε νυν εχολωσε ϝαναξ ανδρων Αγαμεμνων.
Αλλα τα μεν προτετυχθαι εϝασομεν, αχνυμενοι περ,
Θυμον ενι στηθεσσι φιλον δαμασαντες αναγκῃ.
Νυν δ' ειμ', ὁϝρα φιλης κεφαλης ολετηρα κιχειω
Ἑκτορα· κηρα δ' εγω τοτε δεξομαι, ὁπποτε κεν δη
Ζευς εθελῃ τελεσαι, ηδ' αθανατοι Θεοι αλλοι.
Ουδε γαρ ουδε βιη Ἡρακλεος φυγε κηρα,
Ὁς περ φιλτατος εσκε Διι Κρονιωνι ϝανακτι·
Αλλα ϝε μοιρα δαμασσε και αργαλεος χολος Ἡρης.
Ὡς και εγων, ει δη μοι ὁμοιη μοιρα τετυκται,
Κεισομ', επει κε θανω· νυν δε κλεος εσθλον αροιμην,
Και τινα Τρωϊαδων και Δαρδανιδων βαθυκολπων,
Αμφοτερῃσιν χερσι παρειαων ἁπαλαων
Δακρυ' ομορξαμενην, αδινον στοναχησαι εφειην·
Γνοιεν δ', ὡς δη δηρον εγω πολεμοιο πεπαυμαι.
Μηδε μ' ερυκε μαχης, φιλεουσα περ, ουδε με πεισεις.
Τον δ' ημειβετ' επειτα Θεα Θετις αργυροπεζα·
Ναι δη ταυτα γε, τεκνον, ετητυμον· ου κακον εστι
Τειρομενοις ἑταιροισιν αμυνεμεν αιπυν ολεθρον·

---

nisi, ligo, apud Homerum significat. Bentleius, ερις δε μ' εδησε, proposuit.

105. Τοιος εων, ὡς ουτις. Talis cùm sim, ut nemo: Ita, εθελοιμι και αυτος Ὡς εμειν· Δ. 318. Vulgò, οἷος ουτις, contra metrum; vide N. 275. Knightius duos versus damnat.

107. Ὡς ερις. en quò Discordia cives Perduxit miseros. Eclog. i. 72.

128. ταυτα. hæc verè dixisti: Ita MSS. Stephanus, τουτο.

Αλλα τοι εντεα καλα μετα Τρωεσσιν εχονται,
Χαλκεα, μαρμαιροντα· τα μεν κορυθαιολος Ἕκτωρ
Αυτος εχων ωμοισιν αγαλλεται· ουδε με φημι
Δηρον επαγλαϊεισθαι, επει φονος εγγυθεν αυτῳ.
Αλλα συ μεν μηπω καταδυσεο μωλον Αρηος,
Πριν γ' εμε δευρ' ελθουσαν εν οφθαλμοισι ϝιδηαι.
Ηοοθεν γαρ νευμαι, αμ' Ηελιῳ ανιοντι,
Τευχεα καλα φερουσα παρ' Ἡφαιστοιο ϝανακτος.
Ὡς αρα φωνησασα, παλιν τραπεθ' υἱος εροιο·
Και στρεφθεισ', ἁλιῃσι κασιγνητῃσι μετηυδα·
Ὑμεις μεν νυν δυτε θαλασσης ευρεα κολπον,
Οψομεναι τε γερονθ' ἁλιον και δωματα πατρος,
Και ϝοι παντ' αγορευσατ'· εγω δ' ες μακρον Ολυμπον
Ειμι παρ' Ἡφαιστον κλυτοτεχνην, αι κ' εθελησιν
Υἷϊν εμῳ δομεναι κλυτα τευχεα παμφανοωντα.
Ὡς εφαθ· αἱ δ' ὑπο κυμα θαλασσης αυτικ' εδυσαν.
Ἡ δ' αυτ' Ουλυμπονδε Θεα Θετις αργυροπεζα
Ηϊεν, ὁϝρα φιλῳ παιδι κλυτα τευχε' ενεικοι.
Την μεν αρ Ουλυμπονδε ποδες φερον· αυταρ Αχαιοι
Θεσπεσιῳ αλαλητῳ ὑφ' Ἑκτορος ανδροφονοιο
Φευγοντες, νηας τε και Ἑλλησποντον ἱκοντο.
Ουδε κε Πατροκλον περ εϋκνημιδες Αχαιοι
Εκ βελεων ϝερυσαντο νεκυν, θεραποντ' Αχιληος·
Αυτις γαρ δη τονγε κιχον λαος τε και ἱπποι,
Ἑκτωρ τε, Πριαμοιο παϊς, φλογι ϝεικελος αλκην.
Τρις μεν μιν μετοπισθε ποδων ϝλαβε φαιδιμος Ἑκτωρ,
Ἑλκεμεναι μεμαως, ϝμεγα δε Τρωεσσιν ὁμοκλα·
Τρις δε δυ' Αιαντες, θουριν επιϝειμενοι αλκην,

---

133. επαγλαϊεισθαι. exultaturum: Forma est Attica; mallem επαγλαΐσεσθαι legere.

134. καταδυσεο. ingredere: vide Ε. 109.

136. Ηοοθεν γαρ νευμαι. Mane enim ibo: Ita, νειαι, et νειται, in Odyssea leguntur. Vulgò, Ηωθεν.

147. ενεικοι. ferret: ab ενεικω, fero. Ita Edd. Alii, ενεικαι, et, ενεικη.

Νεκρου απεστυφελιξαν· ὁ δ' εμπεδον αλκι πεποιθως,
Αλλοτ' επαϊξασκε κατα μοθον, αλλοτε δ' αυτε
Στασκε μεγ' ιαχεων· οπισω δ' ου χαζετο παμπαν.
Ὡς δ' απο σωματος ουτι λεοντ' αιθωνα δυνανται
Ποιμενες αγραυλοι μεγα πειναοντα διεσθαι·
Ὡς ρα τον ουκ εδυναντο δυω Αιαντε κορυστα
Ἕκτορα Πριαμιδην απο νεκρου δειδιξασθαι.
Και νυ κεν ερυσσεν τε, και ασπετον ηρετο κυδος,
Ει μη Πηλεϊωνι ποδηνεμος ωκεα Ϝιρις
Αγγελος ηλθε θεουσ' απ' Ολυμπου θωρησσεσθαι,
Κρυβδα Διος, αλλων τε Θεων· προ γαρ ἡκε μιν Ἡρη·
Αγχοθι δ' ἱσταμενη μεπεα πτεροεντα προσηυδα·
Ορσεο, Πηλεϊδη, παντων εκπαγλοτατ' ανδρων·
Πατροκλῳ επαμυνον, ου̃ εἵνεκα φυλοπις αινη
Ἑστηκε προ νεων· οἱ δ' αλληλους ολεκουσιν,
Οἱ μεν αμυνομενοι νεκυος περι τεθνειωτος,
Οἱ δε ϝερυσσασθαι ποτι Ϝιλιον ηνεμοεσσαν
Τρωες επιθυουσι· μαλιστα δε φαιδιμος Ἕκτωρ
Ἑλκεμεναι μεμονεν· κεφαλην δε ϝε θυμος ανωγει
Πηξαι ανα σκολοπεσσι, ταμονθ' ἁπαλης απο δειρης.
Αλλ' ανα, μηδ' ετι κεισο· σεβας δε σε θυμον ἱκεσθω,
Πατροκλον Τροϊῃσι κυσιν μελπηθρα γενεσθαι·
Σοι λωβη, αι κεν τι νεκυς ῃσχυμενος ελθῃ.
Την δ' ημειβετ' επειτα ποδαρκης διος Αχιλλευς·
Ϝιρι Θεα, τις τ' αρ σε Θεων εμοι αγγελον ἡκε;
Τον δ' αυτε προσεφειπε ποδηνεμος ωκεα Ϝιρις·
Ἡρη με προεηκε, Διος κυδρη παρακοιτις·
Ουδε ϝιδε Κρονιδης ὑψιζυγος, ουδε τις αλλος

---

160. Στασκε μεγ' ιαχεων. Stabat valde clamans: Vulgò, μεγα ιαχων· vide Ε. 343.

175. Τρωες επιθυουσι. Trojani irruunt: ab ιθυω.

180. ῃσχυμενος. dehonestatus: ab αισχυνω. Alii, ῃσχυμμενος.

182. τις τ' αρ σε. quis sanè te: Ita Α. 8; alii, τις γαρ σε.

185. Ουδε ϝιδε. Neque vidit: vel, Ου ϝοιδε· vulgò, Ουδ' οιδε. Knightius duos versus damnat.

Αθανατων, οἱ Ολυμπον αγαρνιφον αμφινεμονται.
Την δ' απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Πως τ' αρ ιω μετα μωλον; εχουσι δε τευχεα κεινοι·
Μητηρ δ' ου με φιλη πριν γ' ειφα θωρησσεσθαι,
Πριν γ' αυτην ελθουσαν εν οφθαλμοισι ϝιδωμαι·
Στευτο γαρ Ηφαιστοιο παρ' οισεμεν εντεα καλα.
Αλλα δε θην ου ϝοιδα, τα κεν κλυτα τευχεα δυω,
Ει μη Αιαντος γε σακος Τελαμωνιαδαο.
Αλλα και αυτος, ϝελπομ', ενι πρωτοισιν ὁμιλεῖ,
Εγχεϊ δηϊοων περι Πατροκλοιο θανοντος.
Τον δ' αυτε προσεφειπε ποδηνεμος ωκεα Ϝιρις·
Ευ νυ και ἡμεις ϝιδμεν, ὁ τοι κλυτα τευχε' εχονται·
Αλλ' αυτως επι ταφρον ιων, Τρωεσσι φανηθι,
Αι κε σ' ὑποδδεισαντες αποσχωνται πολεμοιο
Τρωες, αναπνευσωσι δ' Αρηϊοι υἱες Αχαιων
Τειρομενοι· ολιγη δε τ' αναπνευσις πολεμοιο.
Ἡ μεν αρ ὡς ϝειπουσ' απεβη ποδας ωκεα Ϝιρις·
Αυταρ Αχιλλευς ωρτο Διϊ φιλος· αμφι δ' Αθηνη
Ωμοις ιφθιμοισι βαλ' αιγιδα θυσανοεσσαν·
Αμφι δε οἱ κεφαλῃ ϝνεφος εστεφε δῖα Θεαων
Χρυσεον, εκ δ' αυτου δαιε φλογα παμφανοωσαν.
Ὡς δ' ὁτε καπνος ιων εκ ϝαστεος αιθερ' ἱκηται
Τηλοθεν εκ νησου, την δηϊοι αμφιμαχονται,
Οἱ τε πανημεριοι στυγερῳ κρινονται Αρηϊ
Ϝαστεος εκ σφετερου· ἁμα δ' Ηελιῳ καταδυντι
Πυρσοι τε φλεγεθουσιν επητριμοι, ὑψοσε δ' αυγη

---

188. τευχεα κεινοι. arma illi: Vulgò, τευχε' εκεινοι.

192. Αλλα δε θην ου ϝοιδα, τα κεν κλυτα τευχεα δυω. Alia verò demum non scio, quæ tum celebria arma induam: Magna hîc in MSS. varietas. Ed. Pr. Αλλου δ' ου θην οιδα, τευ αν· alii, Αλλου δ' ου τευ ϝοιδα, Αλλ' ουδ' ουδε του οιδα, Αλλ' ουδ' ευ οιδα, et, Αλλ' ουθεν οιδα, μη αν. τευ tamen pro οὐ poni nequit, et αν vox non est Homerica. Knightius quatuor versus damnat, ut et 201, 202, et 230.

194. Αλλα και αυτος, ϝελπομ'. At et ipse, spero: Ita Bentleius; vulgò, αυτος ὀγ', ελπομ'.

197. ὁ τοι. quòd tibi: Alii, ὁτι.

206. δαιε φλογα. accendit flammam: Vide Ε. 4.

Γιγνεται αϊσσουσα, περικτιονεσσι ϝιδεσθαι,
Αι κεν πως συν νηυσι ϝαρης αλκτηρες ἰκωνται·
Ὡς απ' Αχιλληος κεφαλης σελας αιθερ' ἱκανε.
Στη δ' επι ταφρον ιων απο τειχεος· ουδ' ες Αχαιους
Μισγετο· μητρος γαρ πυκινην ωπιζετ' εφετμην.
Ενθα στας ηϋσ'· απατερθε δε Παλλας Αθηνη
Φθεγξατ'· αϝαρ Τρωεσσιν εν ασπετον ωρσε κυδοιμον.
Ὡς δ' ὁτ' αριζηλη φωνη, ὁτε κ' ιαχε σαλπιγξ
Ϝαστυ περιπλομενων δαϊων ὑπο θυμοϝραϊστεων·
Ὡς τοτ' αριζηλη φωνη γενετ' Αιακιδαο.
Οἱ δ' ὡς ουν αϊον ϝοπα χαλκεον Αιακιδαο,
Πασιν ορινθη θυμος· αϝαρ καλλιτριχες ἱπποι
Αψ οχεα τροπεον· ϝοσσοντο γαρ αλγεα θυμῳ.
Ἡνιοχοι δ' εκπληγεν, επει ϝιδον ακαματον πυρ
Δεινον ὑπερ κεφαλης ϝμεγαθυμου Πηλεϊωνος
Δαιομενον· το δ' εδαιε Θεα γλαυκωπις Αθηνη.
Τρις μεν ὑπερ ταφρου ϝμεγαλ' ιαχε διος Αχιλλευς·
Τρις δ' εκυκηθησαν Τρωες κλειτοι τ' επικουροι.
Ενθα δε και τοτ' ολοντο δυωδεκα φωτες αριστοι
Αμφι σφοις οχεεσσι και εγχεσιν· αυταρ Αχαιοι
Ασπασιως Πατροκλον ὑπ' εκ βελεων ϝερυσαντες,
Κατθεσαν εν λεχεεσσι· φιλοι δ' αμφεσταν ἑταϝροι
Μυρομενοι· μετα δε σφι ποδωκης ἑσπετ' Αχιλλευς,
Δακρυα θερμα χεων, επει εσϝιδε πιστον ἑταϝρον
Κειμενον εν φερετρῳ, δεδαϊγμενον οξει χαλκῳ·
Τον ϝρ' ητοι μεν επεμπε συν ἱπποισιν και οχεσσιν

---

209. οἱ τε. Iique : oppidani nempe.
211. επιτριμοι. frequentes : αλλος επ' αλλῳ, Hesychius.
213. ϝαρης. damni : Ita Σ. 100, Μ. 334. MSS. αρεως, αρεος, et αρηος.
219. Ὡς δ' ὁτ' αριζηλη φωνη. Ut verò quando insignis vox, quando clamavit tuba : γενετο e versu 221 petendum. Tuba post bellum Trojanum inventa creditur, cùm Græci non nisi voce usi sint. Vulgò, ὁτε τε.
224. ϝοσσοντο γαρ αλγεα θυμῳ. prædicebant enim dolores animo : I. 167.
230. Ενθα. Multi versum, ut incredibilem, damnant.
235. επει εσϝιδε. postquam aspexit : Bentleius, επει ῥ ϝιδε.
236. φερετρῳ. feretro Pallante reposto
Procumbit super, atque hæret lacrymansque gemensque. Æn. xi. 149.

Ες πολεμον, ουδ' αυτις εδεξατο νοστησαντα.
Ηελιον δ' ακαμαντα βοωπις ποτνιας Ηρη
Πεμψεν επ' Ωκεανοιο ῥοας αξεκοντα νεεσθαι·
Ηελιος μεν εδυ, παυσαντο δε διοι Αχαιοι
Φυλοπιδος κρατερης και ὁμοιϊοφι πτολεμοιο.
Τρωες δ' αυθ' ἑτερωθεν, απο κρατερης ὑσμινης
Χωρησαντες, ελυσαν ὑφ' ἁρμασιν ωκεας ἱππους.
Ες δ' αγορην αγεροντο, παρος δορποιο μεδεσθαι·
Ορθων δ' ἑσταοτων αγορη γενετ', ουδε τις ετλη
Ἑζεσθαι· παντας γαρ εχε τρομος, οὑνεκ' Αχιλλευς
Εξεφανη, δηρον δε μαχης επεπαυτ' αλεγεινης.
Τοισι δε Πουλυδαμας πεπνυμενος ηρχ' αγορευειν
Πανθοϊδης· ὁ γαρ οιος ὁρα προσσω και οπισσω·
Ἑκτορι δ' ηεν ἑταιρος, ιη δ' εν νυκτι γενοντο·
Αλλ' ὁ μεν αρ μυθοισιν, ὁ δ' εγχει πολλον ενικα·
Ὁ σφιν εὐφρονεων αγορησατο και μετεφειπεν·
Αμφι μαλα φραζεσθε, φιλοι· κελομαι γαρ εγωγε
Ῥαστυδε νυν ιεναι, μη μιμνειν Ηοα διαν
Εν πεδιῳ παρα νηυσιν· ἑκας δ' απο τειχεος ειμεν.
Ὁφρα μεν οὑτος ανηρ Αγαμεμνονι μηνιε διῳ,
Τοφρα δε ῥηϊτεροι πολεμιζειν ησαν Αχαιοι.
Χαιρεσκον γαρ εγωγε θοης επι νηυσιν ιαυων,
Ἑλπομενος νηας αἱρησεμεν αμφιελισσας·
Νυν δ' αινως δειδοικα ποδωκεα Πηλεϊωνα·
Οἷος κεινου θυμος ὑπερβιος, ουκ εθελησει
Μιμνειν εν πεδιῳ, ὁθι περ Τρωες και Αχαιοι
Εν μεσῳ αμφοτεροι μενος Αρηος δατεονται,

---

242. ὁμοιϊοφι. molesti: Vulgò, ὁμοιϊου· vide I. 440.

249. Πουλυδαμας. Optimè poeta consilia agentium orationibus exponit. Polydamantis prudentia et tuta, Hectoris fortia et audacia sunt.

255. Ηοα διαν. Auroram sacram: Vulgò, πω· Θ. 561.

256. ἑκας δ' απο τειχεος ειμεν. procul verò a muro sumus: Tria millia passuum magnum timido intervallum esset. Forsitan, απο ῥαστεος, praestaret.

265. περι πτολιος τε. de urbe pugnabit, et uxoribus: id est, summam rem in discrimen adducet. Heynius et Knightius versus novendecim damnant.

Αλλα περι πτολιος τε μαχησεται, ηδε γυναικων.
Αλλ᾽ ιομεν προτι ϝαστυ, πιθεσθε μοι, ὡδε γαρ εσται·
Νυν μεν νυξ απεπαυσε ποδωκεα Πηλεϊωνα
Αμβροσιη· ει δ᾽ αμμε κιχησεται ενθαδ᾽ εοντας
Αυριον ὁρμηθεις συν τευχεσιν, ευ νυ τις αυτον
Γνωσεται· ασπασιως γαρ αφικετο Ϝιλιον ἱρην,
Ὁς κε φυγοι· πολλους δε κυνες και γυπες εδονται
Τρωων· αι γαρ δη μοι απ᾽ ουατος ὡδε γενοιτο·
Ει δε κ᾽ εμοις ϝεπεεσσι πιθωμεθα, κηδομενοι περ,
Νυκτα μεν ειν αγορη σθενος εξομεν· αμμι δε ϝαστυ,
Ὑψηλαι τε πυλαι, σανιδες τ᾽ επι τῃς αραρυιαι,
Μακραι, εὐξεστοι, εζευγμεναι εἐρυσσονται.
Πρωϊ δ᾽ ὑπ᾽ Ηοοθεν συν τευχεσι θωρηχθεντες
Στησομεθ᾽ αμπυργους· τῳ δ᾽ αλγιον, αι κ᾽ εθελησιν,
Ελθων εκ νηων, περι τειχεος αμμι μαχεσθαι.
Αψ παλιν εισ᾽ επι νηας, επει κ᾽ εριαυχενας ἱππους
Παντοιου δρομου ασῃ ὑπο πτολιν ηλασκαζων.
Εισω δ᾽ ου μιν θυμος εφορμηθηναι εϝασει,
Ουδε ποτ᾽ εκπερσει· πριν μιν κυνες αργοι εδονται.
Τον δ᾽ αρ ὑποδρα ἰδων προσεφη κορυθαιολος Ἑκτωρ·
Πουλυδαμα, συ μεν ουκ ετ᾽ εμοι φιλα ταυτ᾽ αγορευεις,
Ὁς κελεαι κατα ϝαστυ ϝαλημεναι αυτις ιοντας.
Η ουπω κεκορησθε ϝεϝελμενοι ενδοθι πυργων;
Πριν μεν γαρ Πριαμοιο πολιν ϝμεροπες ανθρωποι
Παντες μυθεσκοντο πολυχρυσον, πολυχαλκον·
Νυν δε δη εξαπολωλε δομων κειμηλια καλα·
Πολλα δε δη Φρυγιην και Μηονιην ερατεινην

---

270. ασπασιως γαρ αφικετο Ϝιλιον ἱρην. lætè enim veniret Trojam sacram, Qui tum fugeret: Vulgò, ασπασιως γαρ αφιξεται Ιλιον ἱρην, Ὁς κε φυγῃ· MS. tamen unus φυγοι habet, et imperfectum passim pro optativo ponitur, ut r. 41, 373.

274. αμμι δε ϝαστυ. nobis verò urbem: Vulgò, αστυ δε πυργοι, contra poetæ mentem; non enim nisi sub Aurorâ αμπυργους stare oportuit; ϝαστυ insuper digamma postulat. Bentleius, ἑξετε, et, αμμε δε πυργοι, proposuit.

277. ὑπ᾽ Ηοοθεν. sub Aurorâ: Vulgò, ὑπηοιοι· vide Θ. 530; et ita Σ. 303.

286. ϝαλημεναι, ϝεϝελμενοι. cogi, coacti: a ϝειλεω, A. 409.

Κτηματα περναμεν' ἰκει, επει ῥμεγας ωδυσατο Ζευς·
Νυν δ' ὁτε περ μοι εδωκε Κρονου παις αγκυλομητεω
Κυδος αρεσθ' επι νηυσι, και αμφ' ἁλα ῥελσαι Αχαιους,
Νηπιε, μηκετι ταυτα νοηματα φαιν' ενι δημῳ· 295
Ου γαρ τις Τρωων επιπεισεται· ου γαρ εφασω.
Αλλ' αγεθ', ὡς αρ εγω ῥειπω, πειθωμεθα παντες.
Νυν μεν δορπον εῤλεσθε κατα στρατον εν τελεεσσι,
Και φυλακης μνησασθε, και εγρηγορθε ῥεκαστος·
Τρωων δ' ὁς χ' ὑπερ αισαν ανιαζει κτεατεσσι, 300
Συλλεξας, λαοισι δοτω καταδημοβορησαι,
Των τινα βελτερον εστιν επαυρεμεν, η περ Αχαιους.
Πρωϊ δ' ὑπ' Ηοοθεν συν τευχεσι θωρηχθεντες,
Νηυσιν επι γλαφυρῃσιν εγειρομεν οξυν Αρηα.
Ει δ' ετεον παρα ναυφιν ανεστη διος Αχιλλευς, 305
Αλγιον, αι κ' εθελησι, τῳ εσσεται· ου μιν εγωγε
Φευξομαι εκ πολεμοιο δυσηχεος, αλλα μαλ' αντην
Στησομαι, η κε φερησι ῥμεγα κρατος, η κε φεροιμην·
Ξυνος Ενυαλιος, και τε κτανεοντα κατεκτα.
Ὡς Ἑκτωρ αγορευ'· επι δε Τρωες κελαδησαν, 310
Νηπιοι· εκ γαρ σφεων ῥρενας εῤλετο Παλλας Αθηνη·
Ἑκτορι μεν γαρ επηνησαν κακα μητιοωντι,
Πουλυδαμαντι δ' αρ ουτις, ὁς εσθλην ῥραζετο βουλην.
Δορπον επειτα ῥελοντο κατα στρατον· αυταρ Αχαιοι
Παννυχιοι Πατροκλον ανεστεναχοντο γοῶντες· 315
Τοισι δε Πηλεϊδης αδινου εξηρχε γοοιο,
Χειρας επ' ανδροφονους θεμενος στηθεσσιν ἑταῖρου,
Πυκνα μαλα στεναχων· ὡς τε ῥλις ηϋγενειος,
Ὡι ῥα θ' ὑπο σκυμνους ελαφηβολος ἁρπασῃ ανηρ

---

294. και αμφ' ἁλα ῥελσαι Αχαιους. et circum mare cogere Achivos: ut A. 409. Vulgò, θαλασσῃ τ' ελσαι, quod emendatio est ob hiatum.

300. Τρωων δ' ὁς χ' ὑπερ αισαν. Trojanorum verò qui tum ultra modum dolet ob possessiones: Vulgò, ὁς κτεατεσσιν ὑπερφιαλως ανιαζει· sed ανη, et ανιαω semper, et ανιαζω in tribus Odysseæ locis secundam producunt; et ὑπερφιαλως propriè, perjurè, significat. Confer Ψ. 721. Knightius tres versus damnat. καταδημοβορησαι. per plebem consumere.

308. η κε φερησι. utrùm ferat magnam victoriam, aut mihi ferrem: id

Ὕλης εκ πυκινης· ὁ δε τ' αχνυται ὑστερος ελθων·
Πολλα δε τ' αγχε' επηλθε μετ' ανερος ιχνι' ερευνῶν,
Ει ποθι ῥ' εξευροι· μαλα γαρ δριμυς χολος αἱρεῖ·
Ὡς ὁ βαρυστεναχων μετεφωνεε Μυρμιδονεσσιν·
Ω ποποι, η ῥ' ἁλιον ἑπος εκβαλον ηματι κεινῳ,
Θαρσυνων ἡρωα Μενοιτιον εν μεγαροισι·
Φην δε οι εις Οποεντα περικλυτον υἱον απαξειν,
Γιλιον εκπερσαντα, λαχοντα τε λητδος αισαν.
Αλλ' ου Ζευς ανδρεσσι νοηματα παντα τελευτᾷ·
Αμφω γαρ πεπρωται ὁμοιην γαιαν ερυσαι
Αυτοθ' ενι Τροϊῃ, επει ουδε με νοστησαντα
Δεξεται εν μεγαροισι γερων ἱππηλατα Πηλευς,
Ουδε Θετις μητηρ, αλλ' αυτοθι γαια καθεξει.
Νυν δ' επει ουν, Πατροκλε, σευ ὑστερος ειμ' ὑπο γαιαν,
Ου σε πριν κτεριω, πριν γ' Ἕκτορος ενθαδ' ενεικαι
Τευχεα και κεφαλην μεγαθυμου σειο φονηος·
Δωδεκα δε προπαροιθε πυρης αποδειροτομησω
Τρωων αγλαα τεκνα, σεθεν κταμενοιο χολωθεις.
Τοῖσι δε μοι παρα νηυσι κορωνισι κεισεαι αυτως·
Αμφι δε σε Τροϊαι και Δαρδανιδες βαθυκολποι
Κλαυσονται, νυκτας τε και ηματα δακρυχεουσαι,
Τας αυτοι καμομεσθα βιηθι τε δουρι τε μακρῳ,
Πιειρας περθοντε πολεις μεροπων ανθρωπων.
Ὡς ειπων, ἑταῖροισιν εκεκλετο διος Αχιλλευς,
Αμφι πυρι στησαι τριποδα μεγαν, ὁφρα ταχιστα
Πατροκλον λοεσειαν απο βροτον αἱματοεντα.
Οἱ δε λοετροχοον τριποδ' ἱστασαν εν πυρι κηλεῳ,
Εν δ' αρ ὑδωρ εκεαν· ὑπο δε ξυλα δαιον εφλοντες·

---

est, ferre possim; optativus rem incertam et optatam indicat. φεροιτο legitur, N. 486; ita enim ibi grammatica postulat.

309. Ἐνυος Ἐνυαλιος. Communis Mars, et occidere volentem occidere solet: ea enim futuri et imperfecti vis.

329. ερυσαι. rubrum facere: ab ερυθω.

341. Τας αυτοι καμομεσθα. Quas ipsi laborando obtinuimus: Knightius verbum hunc sensum habere negat, et κταομεσθα proponit; duos tamen versus damnat.

347. Εν δ' αρ ὑδωρ εχεαν. Aquam verò infuserunt: Alia forma, εχευαν·

Γαστρην μεν τριποδος πυρ αμφεπε, θερμετο δ' ὑδωρ·
Αυταρ επει δη ζεσσεν ὑδωρ ενι ῥηνοπι χαλκῳ,
Και τοτε δη λοεσαν τε, και ηλειψαν ῥλιπ' ελαιῳ·
Εν δ' ωτειλας πλησαν αλειφατος εννεωροιο·
Εν λεχεεσσι δε θεντες, εανῳ λιτι καλυψαν
Ες ποδας εκ κεφαλης· καθυπερθε δε φαρεϊ λευκῳ·
Παννυχιοι μεν επειτα ποδας ταχυν αμφ' Αχιληα
Μυρμιδονες Πατροκλον ανεστεναχοντο γοῶντες.
Ζευς δ' Ἡρην προσεφειπε κασιγνητην, αλοχον τε·
Επρηξας και επειτα, βοωπις ποτνια Ἡρη,
Ανστησας' Αχιληα ποδας ταχυν· η ῥα νυ σειο
Εξ αυτης εγενοντο καρηκομοωντες Αχαιοι.
Τον δ' ημειβετ' επειτα βοωπις ποτνια Ἡρη·
Αινοτατε Κρονιδη, ποιον τον μυθον εφειπες;
Και μεν δη που τις μελλει κοτον ανδρι τελεσσαι,
Ὁς περ θνητος τ' εστι, και ου τοσα μηδεα ῥοιδε·
Πως δη εγωγ', ἡ φημι Θεαων εμμεν αριστη,
Αμφοτερον γενεη τε, και οὕνεκα ση παρακοιτις
Κεκλημαι, συ δε πασι μετ' αθανατοισι ῥαναασσεις,
Ουκ οφελον Τρωεσσι κοτεσσαμενη κακα ῥαψαι;
Ὡς οἱ μεν τοιαυτα προς αλληλους αγορευον.

Barnesius, Εν δ' αρ εχευαν ὑδωρ, voluit, Knightius, εχεον, edidit. Ita ηλευαμην secundam ancipitem habet.

349. ζεσσεν ὑδωρ.

> Pars calidos latices, et ahena undantia flammis
> Expediunt; corpusque lavant frigentis, et unguunt.
> Fit gemitus. Tum membra toro defleta reponunt;
> Purpureasque super vestes, velamina nota,
> Conjiciunt. Æn. vi. 218.

351. εννεωροιο. novennalis: Vox in Odysseâ occurrit.

352. εανῳ λιτι. tenui linteo: Ε. 734, Θ. 441.

356. Ζευς δ' Ἡρην. Zenodotus tredecim versus damnabat.

362. κοτον ανδρι τελεσσαι. iram viro perficere: Ita, χολον τελεσειε, Δ. 178, et, εχει κοτον, ὁῤῥα τελεσσῃ, Α. 82; vulgò, βροτος· sed malè cum θνητος concordat, et sensus κοτον postulat. Bentleius ῥεπος, vel νοον, proposuit.

364. Πως δη εγωγε.

> Ast ego quæ Divûm incedo regina, Jovisque
> Et soror et conjux, unâ cum gente tot annos
> Bella gero. Æn. i. 46.

Ἡφαιστου δ' ἱκανε δομον Θετις αργυροπεζα,
Αφθιτον, αστεροεντα, μεταπρεπε' αθανατοισι,
Χαλκεον, ὃν ῥ' αυτος ποιησατο Κυλλοποδιων.
Τον δ' εὗρ' ἱδρωοντα, ελισσομενον περι φυσας,
Σπευδοντα· τριποδας γαρ εφεικοσι παντας ετευχεν,
Ἑσταμεναι περι τοιχον εϋσταθεος μεγαροιο.
Χρυσεα δε ῥ' ὑπο κυκλα εκαστῳ πυθμενι θηκεν,
Ὀφρα οι αυτοματοι θειον δυσαιατ' αγωνα,
Ηδ' αυτις προς δωμα νεοιατο, θαυμα ἰδεσθαι.
Οἱ δ' ητοι τοσσον μεν εχον τελος, ουατα δ' ουπω
Δαιδαλεα προσεκειτο, τα ῥ' ηρτυε, κοπτε δε δεσμους.
Ὀφρ' ὁγε ταυτ' επονειτο ἰδυιῃσι πραπιδεσσι,
Τοφρα οι εγγυθεν ηλθε Θεα Θετις αργυροπεζα.
Την δε ἰδε προμολουσα Χαρις ελικωπις ἐυστεφανος
Καλη, την ωπυιε περικλυτος Αμφιγυηεις,
Εν τε χερσιν ἑλε χειρι, επος τ' εφατ', εκ τ' ονομαζε·
Τιπτε, Θετι ταναηπεπλε, κιχανεις ἡμετερον δω,
Αιδοιη τε φιλη τε; παρος γε μεν ουτι θαμιζεις.
Αλλ' ἑπεο προτερω· ἱνα τοι παρ ξεινια θειω.
Ὡς αρα φωνησασα, προσω αγε δῖα Θεαων·
Την μεν επειτα καθεισεν επι θρονου αργυροηλου,

---

367. κακα ῥαψαι. mala struere: sic, κακοῤῥαφιη, O. 16. Alii, κακα ῥεξαι.

372. ελισσομενον περι φυσας. versantem circa folles:

373. εφεικοσι παντας. viginti omnes: Scholiastes et Eustathius vocem παντας abundare censent, dum Clarkius vim omnem sententiæ in eâdem contineri judicet; usitata est loquendi forma; H. 161, T. 247.

375. Χρυσεα δε ῥ' ὑπο κυκλα. Aureas verò rotas unicuique fundo supposuit: Vulgò, δε σφ'· sed σφι nec loco convenit, nec elidi potest; Γ. 300.

376. Ὀφρα οι αυτοματοι. Ut ei suapte: Minimè mirum est miracula divinis operibus inesse. Θειον δυσαιατ' αγωνα. divinum inirent cœtum: Ita Eustathius; vide H. 298.

378. τοσσον εχον τελος. eousque perfecta erant:

382. Χαρις. Gratia: Nusquam poeta Venerem, ut Vulcani uxorem inducit, nisi in spurio Odysseæ loco, θ. 266.

385. Τιπτε, Θετι ταναηπεπλε, κιχανεις ἡμετερον δω. Quare, Thetis longis vestibus, invenis nostram domum: Κιχανω sæpe hunc sensum habet, ut P. 672, T. 165, Od. ν. 228, ο. 260. Vulgò, ἱκανεις· sed ἱκανω non alibi in præsenti primam producit. Vide A. 317.

Καλου, δαιδαλεου· ὑπο δε θρηνυς ποσιν ηεν·
Κεκλετο δ' Ἡφαιστον κλυτοτεχνην, ϝειπε τε μυθον·
Ἡφαιστε, προμολ' ὧδε, Θετις νυ τι σειο χατιζει.
Την δ' ημειβετ' επειτα περικλυτος Αμφιγυηεις·
Η ϝρα νυ μοι δεινη τε και αιδοιη Θεος ενδον,
Ἡ μ' εσαωσ', ὁτε μ' αλγος αφικετο τηλε πεσοντα,
Μητρος εμης ιοτητι κυνωπιδος, ἡ μ' εθελεσκε
Κρυψαι χωλον εοντα· τοτ' αρ παθον αλγεα θυμῳ,
Ει μη μ' Ευρυνομη τε, Θετις θ' ὑπεδεξατο κολπῳ,
Ευρυνομη θυγατηρ αψορροου Ωκεανοιο.
Τῃσι παρ' ειναετες χαλκευον δαιδαλα πολλα,
Πορπας, τε, γναμπτας θ' ἑλικας, καλυκας τε, και ὁρμους,
Εν σπεεϊ γλαφυρῳ· περι δε ϝροος Ωκεανοιο
Αφρῳ μορμυρων ϝρεεν ασπετος· ουδε τις αλλος
Fοιδεεν, ουτε Θεων, ουτε θνητων ανθρωπων·
Αλλα Θετις τε, και Ευρυνομη ϝισαν, αἱ μ' εσαωσαν.
Ἡ νυν ἡμετερον δομον ἡκει· τῳ κε μαλα χρεῖ
Παντα μ' εὐπλοκαμῳ Θετιδι ζωαγρια τινειν.
Αλλα συ μεν νυν ϝοι παραθες ξεινηϊα καλα,
Ὁϝρα κ' εγω φυσας αποθειομαι, ὁπλα τε παντα.
Η, και απ' ακμοθετοιο πελωρ αϝρητον ανεστη
Χωλευων, ὑπο δε κνημαι ϝρωοντο ϝαραιαι.
Φυσας μεν ϝρ' απανευθε τιθει πυρος, ὁπλα τε παντα
Λαρνακ' ες αργυρεην συλλεξατο, τοις εποneιτο·
Σπογγῳ δ' αμφι προσωπα, και αμφω χειρ' απομοργνυ,
Αυχενα τε στιβαρον, και στηθεα λαχνηεντα·

---

397. τοτ' αρ. tunc sanè: Ita Eustathius; alii, τοτ' αν. Potuit etiam τοκεν scripsisse, ut ὁκεν, A. 519; Hesychius, Τοκεν, διοκεν, habet.

399. Ευρυνομη. Versus aptè inseritur, cùm Oceani, non Nerei, filia erat. Knightius tamen eum damnat.

401. Πορπας τε, γναμπτας θ' ἑλικας. Fibulasque, flexasque inaures, calycesque, et monilia: ornamenta varia muliebria. Versus iterum occurrit, Hym. ad Ven. 164. Forsitan ενετας pro ἑλικας legendum, Ξ. 180.

405. ϝισαν. sciverunt: sæpe in Odysseâ occurrit. Alii, εσαν.

406. τῳ κε μαλα χρεῖ. quare tum valde opus est Omnia me bene crinitæ Thetidi vitæ præmia solvere: Vulgò, τῳ με μαλα χρεω Παντα θεα καλλιπλοκαμῳ· sed Θετιδι ita contrahi nequit, τῳ κε passim legitur, ut Ξ. 464, et de χρεῖ, vide I. 75.

Δυ δε χιτων'· εγλε δε σκηπτρον παχυ· βη δε θυραζε
Χωλευων· ὑπο δ' αμφιπολοι γρωντο γανακτι,
Χρυσειαι, ζωῃσι νεηνισσιν γεϝικυιαι·
Τῃς εν μεν νοος εστι μετα φρεσιν, εν δε και αυδη,
Και σθενος, αθανατων δε Θεων απο γεργα γισασιν.
Αἱ μεν ὑπαιθα γανακτος εποιπνυον· αυταρ ὁ γερρων,
Πλησιον, ενθα Θετις περ, επι θρονου ἵζε φαεινου,
Εν τε γεθιν φυ χειρι, γεπος τ' εφατ', εκ τ' ονομαζε·
Τιπτε, Θετι ταναπεπλε, κιχανεις ἡμετερον δω,
Αιδοιη τε φιλη τε; παρος γε μεν ουτι θαμιζεις.
Αυδα, ὁτι γρονεεις· τελεσαι δε με θυμος ανωγεν,
Ει δυναμαι τελεσαι γε, και ει τετελεσμενον εστι.
Τον δ' ημειβετ' επειτα Θετις κατα δακρυ χεουσα·
Ἡφαιστ', η αρα δη τις, ὁσαι Θεαι εισ' εν Ολυμπῳ,
Τοσσαδ' ενι γρεσι γῃσιν ανεσχετο κηδεα λυγρα,
Ὁσσ' εμοι εκ πασεων Κρονιδης Ζευς αλγε' εδωκεν;
Εκ μεν μ' αλλαων ἁλιαων ανδρι δαμασσεν,
Αιακιδῃ Πηληϊ, και ετλην ανερος ευνην,
Πολλα μαλ' ουκ εθελουσαν· ὁ μεν δη γηραϊ λυγρῳ
Κειται ενι γμεγαροις γεγαρημενος· αλλα δε μοι νυν.
Υἱον επει μοι δωκε γενεσθαι τε, τραγεμεν τε,
Εξοχον ἡρωων, ὁ δ' ανεδραμεν ερνεϊ γισος·
Τον μεν εγω θρεψασα, φυτον ὡς γουνῳ αλωης,
Νηυσιν ενι προεηκα κορωνισι Γιλιον εισω,
Τρωσι μαχησομενον· τον δ' ουχ ὑποδεξομαι αυτις
Γοικαδε νοστησαντα, δομον Πηληϊον εισω·

---

410. πελωρ αϝρητον. monstrum infandum: Ita, Infandi Cyclopes, Æn. iii. 644, et, Monstrum horrendum, Æn. iii. 658. Vulgò, αιητον, quæ vox nihili est; vide P. 37.

411. ὑπο δε κνημαι γρωντο γαραιαι. subtus verò tibiæ movebantur exiles: non nisi brachia fortia erant. E. 425.

418. ζωῃσι νεηνισσιν γεϝικυιαι. vivis puellis similes: Knightius, νεηνιδεσσιν· vulgò, νεηνισιν ειοικυιαι, quod monstrum est. Bentleius, γειϝοικυιαι.

421. αυταρ ὁ γερρων. sed ille errans: id est, tortuosè vadens.

434. εθελουσαν. Ita Bentleius, ut a δαμασσεν regatur; vide B. 335; vulgò, εθελουσα, metro imperfecto.

435. γεγαρημενος. damno affectus: a γαρη, M. 334; vulgò, αρημενος.

436. γενεσθαι τε, τραφεμεν τε. nascique, et crevisse: Vide H. 199, E. 555. Forsitan, γενεσθαι, τετροφεμεν τε, scripsisse potuit.

Ὄφρα δε μοι ζωει, και ὁρᾷ φαος Ηελιοιο,
Αχνυται, ουδε τι ϝοι δυναμαι χραισμησαι ιουσα.
Κουρην ἣν αρα ϝοι γερας εκϝελον υἷες Αχαιων,
Την αψ εκ χειρων ϝελετο κρειων Αγαμεμνων. 445
Ητοι ὁ της αχεων, φρενας εφθιεν· αυταρ Αχαιους
Τρωες επι πρυμνησιν ερειλεον, ουδε θυραζε
Ειϝων εξιεναι· τον δ' εϝλισσοντο γεροντες
Αργειων, και πολλα περικλυτα δωρ' ονομαζον.
Ενθ' αυτος μεν επειτ' ηναινετο λοιγον αμυναι· 450
Αυταρ ὁ Πατροκλον περι μεν τα ϝα τευχεα ϝεσσε,
Πεμπε δε μιν πολεμονδε, πολυν δ' ἁμα λαον οπασσε.
Παν δ' ημαρ μαρναντο περι Σκαιῃσι πυλῃσι·
Και νυ κεν αυτημαρ πολιν επραθον, ει μη Απολλων,
Πολλα κακα ϝρεξαντα, Μενοιτιου αλκιμον υἱον 455
Εκταν' ενι προμαχοισι, και Ἕκτορι κυδος εδωκε.
Τουνεκα νυν τα σα γουναθ' ἱκανομαι, αι κ' εθελησθα
Υἷϊ μευ ωκυμορῳ δομεν ασπιδα και τρυφαλειαν,
Και καλας κνημιδας, επισϕυριοις αραρυιας,
Και θωρηχ'· ὁ γαρ ην ϝοι, απωλεσε πιστος ἑταϝρος, 460
Τρωσι δαμεις· ὁ δε κειται επι χθονι θυμον αχευων.
Την δ' ημειβετ' επειτα περικλυτος Αμϕιγυηεις·
Θαρσει, μη τοι ταυτα μετα ϕρεσι σῃσι μελοντων.
Αι γαρ μιν θανατοιο δυσηχεος ὡδε δυναιμην
Νοσϕιν αποκρυψαι, ὁτε μιν ϝμορος αινος ἱκανοι, 465
Ὡς ϝοι τευχεα καλα παρεσσεται, οἷα τις αυτε
Ανθρωπων πολεων θαυμασσεται, ὁς κε ϝιδηται.

---

444. Κουρην. Knightius versus tredecim cum Aristarcho damnat.
450. ηναινετο. recusavit: ab αναινομαι. Ita MSS. alii, ηνηνετο.
458. Υἷϊ μευ ωκυμορῳ. Filio meo citò morituro: Ita Bentleius; vulgò, Υἱ' εμῳ, et Υἱει εμῳ.
470. εν χοανοισιν. in ampullis: luteis nempe, quibus metalla liquefiunt.
471. Παντοιην ευπρηστον αὔτμην. Omnigenum bene inflatum spiritum: a πρηθω, A. 481.
473. και ϝεργον ανοιτο. et opus perficeretur: K. 251.
475. Χρυσον τιμηεντα. Aurum pretiosum: Ita Knightius; vulgò, Και χρυσον τιμηντα.
476. ϝελτο. sumpsit: Vulgò, γεντο· vide Θ. 43.
477. Ϝραιστηρα. Malleum: πυραγρην. forcipem:

Ὡς ϝειπων, την μεν λιπεν αυτοθι, βη δ' επι φυσας·
Τας δ' ες πυρ ετρεψε, κελευσε τε ϝεργαζεσθαι·
Φυσαι δ' εν χοανοισιν εϝεικοσι πασαι εφυσων,
Παντοιην ευπρηστον αϋτμην εξανιεισαι,
Αλλοτε μεν σπευδοντι παρεμμεναι, αλλοτε δ' αυτε,
Ὁππως Ἡφαιστος τ' εθελοι, και ϝεργον ανοιτο.
Χαλκον δ' εν πυρι βαλλεν ατειρεα, κασσιτερον τε,
Χρυσον τιμηεντα, και αργυρον· αυταρ επειτα
Θηκεν εν ακμοθετῳ ϝμεγαν ακμονα· ϝελτο δε χειρι
Fραιστηρα κρατερον, ἑτερηθι δε ϝελτο πυραγρην.
Ποιει δε πρωτιστα σακος ϝμεγα τε στιβαρον τε,
Παντοσε δαιδαλλων, περι δ' αντυγα βαλλε φαεινην,
Τριπλακα, μαρμαρεην, εκ δ' αργυρεον τελαμωνα·
Πεντε δ' αρ αυτου εσαν σακεος πτυχες· αυταρ εν αυτῳ
Ποιει δαιδαλα πολλα ϝιδυιησι πραπιδεσσιν.
Εν μεν γαιαν ετευξ', εν δ' ουρανον, εν δε θαλασσαν,
Ηελιον τ' ακαμαντα, Σεληνην τε πληθουσαν·
Εν δε τα τειρεα παντα, τα τ' ουρανος εστεφανωται,
Πληϊαδας θ', Ὑαδας τε, το τε σθενος Ωριωνος,
Αρκτον θ', ἣν και αμαξαν επικλησιν καλεουσιν,
Ἣ τ' αυτου στρεφεται, και τ' Ωριωνα δοκευει·
Οιη δ' αϝμορος εστι λοετρων Ωκεανοιο.
Εν δε δυω ποιησε πολεις ϝμεροπων ανθρωπων
Καλας· εν τῃ μεν ϝρα γαμοι τ' εσαν, ειλαπιναι τε·
Νυμϕας δ' εκ θαλαμων, δαϊδων ὑπολαμπομεναων,
Ηγινευν ανα ϝαστυ· πολυς δ' ὑμεναιος ορωρει·

---

478. σακος ϝμεγα τε στιβαρον τε. De scuto Achillis consule, quæ Popius optimè disseruit. Minimè mirum est priscos homines in iis artibus, quibus operam dederint, eminuisse. Hesiodus in poemate pulcherrimo scutum Herculis, et Virgilius Æneæ depinxerunt.

483. Εν μεν. Zenodotus versus centum et quatuor et viginti damnabat; et Heynius eandem sententiam amplexus est; optimè tamen defendit Knightius.

485. Εν δε τα τειρεα παντα. Inerantque ea sidera omnia: Heynius, Εν δε τε. Hæc scuti partem mediam occupabant. Non nisi pauca antiquitus nomina habebant.

490. Εν δε δυω ποιησε πολεις. In eo verò duas fecit urbes: Tabulæ duodecim spatiis æqualibus circum scutum disponuntur. Prima matrimonium continet.

Κουροι δ' ορχηστηρες εδινεον, εν δ' αρα τοισιν
Αυλοι, φορμιγγες τε βοην εχον· αἱ δε γυναικες
Ἱσταμεναι θαυμαζον επι προθυροισι ϝεκαστη.
Λαοι δ' ειν αγορη εσαν αθροοι· ενθα δε νεικος
Ωρωρει· δυο δ' ανδρες ενεικεον εἱνεκα ποινης
Ανδρος αποφθιμενου· ὁ μεν ευχετο παντ' αποδουναι,
Σημα πιφαυσκομενος· ὁ δ' αναινετο μηδεν ερλεσθαι.
Γιεσθην δ' αμφω επι ϝιστορι πειραρ ερλεσθαι.
Λαοι δ' αμφοτεροισιν επηπυον, αμφις αρωγοι.
Κηρυκες δ' αρα λαον ερητυον· οἱ δε γεροντες
Εἱατ' επι ξεστοισι λιθοις, ἱερῳ ενι κυκλῳ·
Σκηπτρα δε κηρυκων εν χερσ' εχον ηεροφωνων·
Τοισιν επειτ' ηϊσσον, αμοιβηδις δ' εδικαζον.
Κειτο δ' αρ εν μεσσοισι δυο χρυσοιο ταλαντα,
Τῳ δομεν, ὁς μετα τοισι δικην ιθυντατα ϝειποι.
Την δ' ἑτερην πολιν αμφι δυο στρατοι εἱατο λαων,
Τευχεσι λαμπομενοι· διχα δε σφισι ϝανδανε βουλη
Ηε διαπραθεειν, η ανδιχα παντα δασασθαι,
Κτησιν ὁσην πτολιεθρον επηρατον εντος εεργεν.
Οἱ δ' ουπω πειθοντο, λοχῳ δ' ὑπεθωρησσοντο.
Τειχος μεν ϝρ' αλοχοι τε φιλαι, και νηπια τεκνα,
Ϝρυατ' εφεσταοτες, μετα δ' ανερες, οὓς εχε γηρας.
Οἱ δ' ισαν· ηρχε δ' αρα σφιν Αϝρης και Παλλας Αθηνη,

---

497. Λαοι. Populi: In secundâ tabulâ partes causam orant, utrùm hominis cæsi pœna soluta fuerit.

500. Σημα πιφαυσκομενος. Signum ostendens; ille verò renuit quicquam accepisse: Σημα hunc sensum obtinet, Z. 176, H. 189. Vulgò, Δημον πιφαυσκων, quod sensum non habet, et πιφαυσκω primam corripit, K. 202, 478. Potuit etiam, ὁ δ' αναινετο σημα ϝον ειναι, scripsisse; sed duplex negatio passim occurrit.

501. Γιεσθην δ' αμφω. Cupiebant verò ambo: Vulgò, Αμφω δ' ἱεσθην· sed ϝιεμαι digamma in undecim locis postulat, in 25 admittit, in hoc uno rejicit; vide B. 154, 589. επι ϝιστορι. coram arbitrum: Ψ. 486.

502. επηπυον. acclamabant: ab ηπυω, Ξ. 399.

503. οἱ δε γεροντες. Seniores in tertiâ tabulâ sententiam ferunt.

508. Τῳ δομεν. Populus mercedem judicibus decernit. Alii, ϝειπῃ.

509. Την δ' ἑτερην. In quartâ tabulâ duo exercitus urbem circumstant, unus nempe oppidanorum, et alter obsidentium.

510. διχα δε. Hostes urbem diripere minantur, nisi oppidani bonorum dimidium cedere velint. Ita Scholiastes.

Αμφω χρυσειω, χρυσεια δε ϝειματα ϝεσθην,
Καλω και ϝμεγαλω συν τευχεσιν, ὡς τε Θεω περ,
Αμφις αριζηλω· λαοι δ' ὑπολιζονες ησαν.
Οἱ δ' ὁτε δη ῥ' ἱκανον, ὁθι σφισι ϝεικε λοχησαι,
Εν ποταμῳ, ὁθι τ' αρδμος εεν παντεσσι βοτοισιν,
Ενθ' αρα τοιγ' ἱζον, ϝειλυμενοι αιθοπι χαλκῳ.
Τοισι δ' επειτ' απανευθε δυω σκοποι εἱατο λαων,
Δεγμενοι, ὁπποτε μηλα ϝιδοιατο και ϝελικας βους.
Οἱ δε ταχα προγενοντο, δυω δ' ἁμ' ἑποντο νομηες,
Τερπομενοι συριγξι· δολον δ' ουτι προνοησαν.
Οἱ μεν τα προϝιδοντες επεδραμον, ωκα δ' επειτα
Ταμνοντ' αμφι βοων αγελας και πωεα καλα
Αργεννων οἰων· κτεινον δ' επι μηλοβοτηρας.
Οἱ δ' ὡς ουν επυθοντο πολυν κελαδον παρα βουσιν,
Ειραων προπαροιθε καθημενοι, αυτικ' εφ' ἱππων
Βαντες αερσιποδων μετεκιαθον· αιψα δ' ἱκοντο.
Στησαμενοι δ' εμαχοντο μαχην ποταμοιο παρ' οχθας,
Βαλλον δ' αλληλους χαλκηρεσιν εγχειησιν·
Εν δ' Ερις, εν δε Κυδοιμος ὁμιλεον, εν δ' ολοη Κηρ,
Αλλον ζωον εχουσα νεουτατον, αλλον αουτον,
Αλλον τεθνειωτα κατα μυθον ἑλκε ποδοιϊν·
Ϝειμα δ' εχ' αμφ' ωμοισι δαφοινεον αἱματι φωτων.
Ὡμιλευν δ', ὡς τε ζωοι βροτοι, ηδ' εμαχοντο,

---

512. Κτησιν ὁσην. Rem quantam: Forsitan, Κτημαθ', ὁσα. Alii, εεργει. Knightius versum damnat.

519. ὑπολιζονες. minores: ab ολιγος. Vox non alibi occurrit.

520. οἱ δ' ὁτε δη. Quinta tabula insidias refert. ϝεικε. locus aptus erat: a ϝεικω, cedo; ενεχωρει, Schol.

521. ὁθι τ' αρδμος εεν. ubi et aquatio erat: Ita, νεοαρδης, Φ. 346. Forsitan, ὁθιν αρδμος, vel, ὁθι ϝαρδμος.

522. ἱζον. sedebant: Vulgò, ἱζοντο. ϝειλυμενοι. obvoluti: P. 492.

527. οἱ μεν. Sexta tabula prælium exhibet. Oppidani obsidentium commeatum intercipiunt; obsidentes contrà auxilio veniunt. Multæ tabulæ sunt, in quibus variæ rei gestæ partes in uno quadro continentur.

531. Ειραων προπαροιθε καθημενοι. Catenas ante sedentes: eas nempe, quæ in foro altaria cingebant. MSS. ειραων, et, ϳραων. Idem ac σειραων valere opinor, quod forsitan legendum; primæ enim versuum litteræ facilè oblinuntur. Alii, pro concione sedentes, vertunt.

539. Ὡμιλευν δ', ὡς τε ζωοι βροτοι. Versabantur vero, ut vivi homines: Nonnulli figuras arte divinâ movisse putant, ut tripodes, Σ. 376.

Νεκρους τ' αλληλων ϝερυον κατατεθνειωτας.
Εν δ' ετιθει νειον μαλακην, πιειραν αρουραν,
Ευρειαν, τριπολον· πολλοι δ' αροτηρες εν αυτῃ
Ζευγεα δινευοντες ελαστρεον ενθα και ενθα.
Οἱ δ' ὁποτε στρεψαντες ἱκοιατο τελσον αρουρης,
Τοισι δ' επειτ' εν χερσι δεπας μελανος ϝοινοιο
Δοσκεν ανηρ επιων· τοι δε στρεψασκον αν' ογμους,
Γιεμενοι νειοιο βαθειης τελσον ἱκεσθαι.
Ἡ δε μελαινετ' οπισθεν, αρηρομενῃ δε ϝεϝοικει,
Χρυσειῃ περ εουσα· το δῃ περι θαυμ' ετετυκτο.
Εν δ' ετιθει τεμενος βαθυληϊον· ενθα δ' εριθοι
Ἡϝμων, οξειας δρεπανας εν χερσιν εχοντες·
Δραγματα δ' αλλα μετ' ογμον επητριμα πιπτον εραζε,
Αλλα δ' αμαλλοδετηρες εν ελλεδανοισι δεοντο.
Τρεις δ' αρ αμαλλοδετηρες εφεσταϲαν· αυταρ οπισθε
Παιδες δραγμευοντες, εν αγκαλιδεσσι φεροντες,
Ασπερχες παρεχον· βασιλευς δ' εν τοισι σιωπῃ
Σκηπτρον εχων ἑστηκει επ' ογμου γηθοσυνος κῆρ.
Κηρυκες δ' απανευθεν ὑπο δρυϊ δαιτα πενοντο·
Βουν δ' ἱερευσαντες ϝμεγαν αμφεπον· αἱ δε γυναικες,
Δειπνον εριθοισιν, λευκ' αλφιτα πολλα παλυνον.
Εν δ' ετιθει σταφυλῃσι ϝμεγα βριθουσαν αλωην
Καλην, χρυσειην· μελανες δ' ανα βοτρυες ησαν·
Ἑστηκει δε καμαξι διαμπερες αργυρεῃσιν.
Αμφι δε, κυανεην καπετον, περι δ' ἑρκος ελασσε
Κασσιτερου· μια δ' οιη αταρπιτος ηεν επ' αυτην,

---

541. νειον μαλακην. novale molle: Septima tabula arationem continet. τριπολον, ter aratum:

545. μελανος ϝοινοιο. nigri vini: ut Od. ι. 196. Ita Bentleius; vulgò, μελιηδεος οινου, quod in digamma peccat.

550. τεμενος βαθυληϊον. Octava tabula messem continet.

561. αλωην. vineam: Nona vindemiam.

564. κυανεην καπετον. cæruleam fossam: nempe, ut color aquam indicaret.

570. Λινον δ' ὑπο καλην αειδε. Linum verò pulchrum succinebat: Nota hæc cantilena erat. Linus poeta celeber Thebanus erat, Apollinis filius; Eclog. iv. 57, vi. 67. Alii, ad chordam, vertunt; chordæ enim antiquitus e lino fiebant.

Τῃ νισσοντο φορηες, ὁτε τρυγοῳεν αλωην.
Παρθενικαι δε και ηϊθεοι, αταλα φρονεοντες,
Πλεκτοις εν ταλαροισι φερον μελιηδεα καρπον.
Τοισιν δ' εν μεσσοισι παϊς φορμιγγι γλιγειῃ
Ἱμεροεν κιθαριζε· Λινον δ' ὑπο καλον αειδε
Λεπταλεῃ φωνῃ· τοι δε γρησσοντες ὁμαρτῃ,
Μολπῃ τ' ιϋγμῳ τε, ποσι σκαιροντες ἑποντο.
Εν δ' αγελην ποιησε βοων ορθοκραιραων·
Αἱ δε βοες χρυσοιο τετευχατο κασσιτερου τε,
Μυκηθμῳ δ' απο κοπρου επεῤῥευοντο νομονδε,
Παρ ποταμον κελαδοντα, περι ῥοδανον δονακηα.
Χρυσειοι δε νομηες ἁμ' εστιχοωντο βοεσσι
Τεσσαρες, εννεα δε σφι κυνες ποδας αργοι ἑποντο.
Σμερδαλεω δε λεοντε δυ' εν πρωτῃσι βοεσσι
Ταυρον ερυγμηλον εχετην· ὁ δε μακρα μεμυκως
Ἑλκετο· τον δε κυνες μετεκιαθον, ηδ' αιζηοι.
Τω μεν, αναῤῥηξαντε βοος μεγαλοιο βοειην,
Εγκατα και μελαν αἱμα λαφυσσετον· οἱ δε νομηες
Αυτως ενδιεσαν, ταχεας κυνας οτρυνοντες.
Οἱ δ' ητοι δακεειν μεν απετρωπῶντο λεοντων,
Ἱσταμενοι δε μαλ' εγγυς ὑλακτεον, εκ τ' αλεοντο.
Εν δε νομον ποιησε περικλυτος Αμφιγυηεις,
Εν καλῃ βησσῃ, μεγαν οιων αργεννεων,
Σταθμους τε, κλισιας τε κατηρεφεας, ιδε σηκους.
Εν δε χορον ποικιλλε περικλυτος Αμφιγυηεις,
Τῳ ῥικελον, οἱον ποτ' ενι Κνωσσῳ ευρειῃ

---

573. αγελην βοων. Decima armentum, et duos leones continet.

576. Παρ ποταμον. Ad fluvium resonantem, circà lætum arundinetum: arundineta enim pastum optimum bobus præbent. Ῥοδανον, τρυφερον, Hesychius. Hinc etiam Fluvius Rhodanus nomen traxit.

Hîc viridis tenerâ prætexit arundine ripas
Mincius. Eclog. vii. 12.

580. ερυγμηλον. rugientem: ab ερευγω.

587. νομον. Undecima tabula ovium pascuum continet.

590. χορον. Duodecima chorum depingit. Knightius versus, 591, 592, 597, 598, 604, et 605 damnat.

Δαιδαλος ησκησεν καλλιπλοκαμῳ Αριαδνῃ·
Ενθα μεν ἠϊθεοι και παρθενοι αλφεσιβοιαι
Ωρχευντ', αλληλων επι καρπῳ χειρας εχοντες·
Των δ' αἱ μεν λεπτας οθονας εχον, οἱ δε χιτωνας
Ϝειατ' εὔϝηντους, ϝηκα στιλβοντας ελαιῳ·
Και ϝρ' αἱ μεν καλας στεφανας εχον, οἱ δε μαχαιρας
Ειχον χρυσειας εξ αργυρεων τελαμωνων.
Οἱ δ' ὁτε μεν θρεξασκον επισταμενοισι ποδεσσι
Ϝρεια μαλ', ὡς ὁτε τις τροχον αρμενον εν παλαμῃσιν
Ἑζομενος κεραμευς πειρησεται, αι κε θεησιν·
Αλλοτε δ' αυ θρεξασκον επι στιχας αλληλοισι.
Πολλος δ' ἱμεροεντα χορον περιϊσταθ' ὁμιλος
Τερπομενοι· δοιω δε κυβιστητηρε κατ' αυτους
Μολπης εξαρχοντες εδινευον κατα μεσσους.

Εν δ' ετιθει ποταμοιο ϝμεγα σθενος Ωκεανοιο,
Αντυγα παρ πυματην σακεος πυκα ποιητοιο.
Αυταρ επει δη τευξε σακος ϝμεγα τε στιβαρον τε,
Τευξ' αρα οἱ θωρηκα φαεινοτερον πυρος αυγης·
Τευξε δε οἱ κορυθα βριαρην, κροταφοις αραρυιαν,
Καλην, δαιδαλεην· επι δε χρυσεον ϝλοφον ἡκε.
Τευξε δε οἱ κνημιδας εανου κασσιτεροιο.
Αυταρ επει πανθ' ὁπλα καμε κλυτος Αμφιγυηεις,
Μητρος Αχιλληος θηκε προπαροιθεν αειρας·
Ἡ δ', ιρηξ ὡς, αλτο κατ' Ουλυμπου ϝνιφοεντος,
Τευχεα μαρμαιροντα παρ' Ἡφαιστοιο φερουσα.

---

593. αλφεσιβοιαι. magno pretio emptæ: Sic, ἑκατομβοιον δε σοι κλ[illegible], Φ. 79.

596. Ϝειατ' εὔϝηντους. tunicas Induti erant bene netas: ϝνεω, neo, νέω, no, digamma distinguuntur. Ita Ω. 580.

606. Ωκεανοιο. Homero Oceanus fluvius magnus erat terram ambiens; aptè igitur scutum circumdat.

609. Τευξ' αρα οἱ θωρηκα. Vulcanus nec hastam nec ensem Achilli parat.

Terribilem cristis galeam flammasque vomentem,
Fatiferumque ensem, loricam ex ære rigentem
Sanguineam, ingentem, qualis cùm cærula nubes
Solis inardescit radiis, longèque refulget.
Tum leves ocreas, electro, auroque recocto,
Hastamque, et clypei non enarrabile textum. Æn. viii. 620.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Τ.

ARGUMENTA.

Μηνιος απορριψις.
Ταυ, μηνιν τ' απερριψε, και εντεα δυσατ' Αχιλλευς.

1. Thetis Achilli arma affert.—23. Corpus Patrocli a vermibus conservat.—40. Achivis in concionem vocatis, Achilles iram Agamemnon renunciat.—76. Agamemnon injuriæ culpam in Jovem rejicit, quædam de Herculis partu commemorat, et pœnas promissas luere velle profitetur —145. Achilles statim in prælium vult ire.—154. Ulysses exercitum in prælium jejunum ire vetat, et pœnas proferri jubet.—184. Agamemnon dicta ejus approbat.—198. Achilles cibum capere nonvult.—215. Ulysses iterum cibum exercitui dare hortatur.—238. Pœnæ in medium proferuntur —257. Agamemnon Briseidem a se intactam jurat.—270. Achilles quoque iram suam Jovi refert.—276. Concio dimittitur.—282. Briseis Patroclum luget.—314. Achilles Patroclum luget.—340. Jovis jussu Minerva Achillem ambrosiâ renovat.—351. Exercitus ad prœlium ordinatur.—364 Achilles arma induit.—392. Currus paratur.—399. Achilles equos suos alloquitur.—408. Equi mortem ei prædicunt.—424. In prœlium descendit.

ΌΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Τ.

Ηως μεν κροκοπεπλος απ' Ωκεανοιο ῥοαων
Ωρνυθ', ἵν' αθανατοισι φαος φεροι, ηδε βροτοισιν·
Ἡ δ' ες νηας ἱκανε, Θεου παρα δωρα φερουσα·
Εὗρε δε Πατροκλῳ περικειμενον αγλαον υἱον,
Κλαιοντα ῥλιγεως· πολεες δ' αμφ' αυτον ἑταῖροι
Μυρονθ'· ἡ δ' εν τοισι παριστατο δῖα Θεαων,
Εν τε ῥεθιν φυ χειρι, ῥεπος τ' εφατ', εκ τ' ονομαζε·
Τεκνον εμον, τουτον μεν εφασομεν, αχνυμενοι περ,
Κεισθαι, επει δη πρωτα Θεων ιοτητι δαμασθη·
Τυνη δ' Ἡφαιστοιο παρα κλυτα τευχεα δεξο,
Καλα μαλ', οἷ' ουπω τις ανηρ ωμοισι φορησεν.
Ὡς αρα φωνησασα Θεα κατα τευχε' εθηκε
Προσθεν Αχιλληος· τα δ' ανεβραχε δαιδαλα παντα.
Μυρμιδονας δ' αρα παντας εῆλε τρομος, ουδε τις ετλη
Αντην εσιδεειν, αλλ' ετρεσαν· αυταρ Αχιλλευς
Ὡς εἰδ', ὡς μιν μαλλον εδυ χολος· εν δε οἱ οσσε
Δεινον ὑπο βλεφαρων, ὡς ει σελας, εξεφαανθεν·
Τερπετο δ' εν χειρεσσιν εχων Θεου αγλαα δωρα.
Αυταρ επει φρεσι ῆῃσιν ετερπετο, δαιδαλα λευσσων,

---

4. περικειμενον αγλαον υἱον. circumjacentem nobilem filium: Vulgò, ὸν φιλον υἱον. Bentleius, Πατροκλῆ φιλον περικειμενον υἱον, sed Πατροκλεεῖ esset.

14. Μυρμιδονας δ' αρα παντας εῆλε τρομος. Pulcherrimè hoc fingitur. Myrmidonibus Græcorum fortissimis etiam e visu armorum terror oritur; Achilli contra ira accenditur.

18. Τερπετο δ' εν χειρεσσιν εχων Θεου αγλαα δωρα.

Ille Deæ donis, et tanto lætus honore
Expleri nequit, atque oculos per singula volvit,
Miraturque interque manus et brachia versat. Æn. viii. 617.

Αυτικα μητερα ϝην ϝεπεα πτεροεντα προσηυδα·
  Μητερ εμη, τα μεν ὁπλα Θεος πορεν, οἱ επιϝεικες
Ϝεργ' εμεν αθανατων, μηδε βροτον ανδρα τελεσσαι·
Νυν δ' ητοι μεν εγω θωρηξομαι· αλλα μαλ' αινως
Δειδω, μη μοι τοϝρα Μενοιτιου αλκιμον υἱον
Μυιαι καδδυσαι κατα χαλκοτυπους ωτειλας,
Ευλας εγγεινωνται, αϝεικισσωσι δε νεκρον·
Εκ δ' αιων πεφαται, κατα δε χροα παντα σαπειη.
  Τον δ' ημειβετ' επειτα Θεα Θετις αργυροπεζα·
Τεκνον, μη τοι ταυτα μετα φρεσι σῃσι μελοντων·
Τῳ μεν εγω πειρησω αλαλκειν αγρια φυλα,
Μυιας, αἱ ϝρα τε φωτας Αϝρηϊφατους κατεδουσιν·
Ει περ γαρ κειται γε τελεσφορον εις ενιαυτον,
Αιει τῳγ' εσται χρως εμπεδος, η και αρειων.
Αλλα συγ' εις αγορην καλεσας ἡρωας Αχαιους,
Μηνιν αποϝειπων Αγαμεμνονι, ποιμενι λαων,
Αιψα μαλ' ες πολεμον θωρησσεο, δυσεο δ' αλκην.
  Ὡς αρα φωνησασα, μενος πολυθαρσες ενηκε·
Πατροκλῳ δ' αυτ' αμβροσιην και νεκταρ ερυθρον
Σταξε κατα ϝρινων, ἱνα ϝοι χρως εμπεδος ειη.
  Αυταρ ὁ ϝβη παρα ϝινα θαλασσης διος Αχιλλευς
Σμερδαλε' ιαχεων, ωρσεν δ' ἡρωας Αχαιους.
Και ῥ' οἱ περ το παρος γε νεων εν αγωνι μενεσκον,
Οἱ τε κυβερνηται, και εχον οιηια νηων,
Και ταμιαι παρα νηυσιν εσαν, σιτοιο δοτηρες·
Και μην οἱ τοτε γ' εις αγορην ισαν, οὑνεκ' Αχιλλευς
Εξεφανη, δηρον δε μαχης επεπαυτ' αλεγεινης.

---

25. καδδυσαι. Patroclum subeuntes per vulnera: pro καταδυσαι. Pr[æ]positio non geminatur, sed in loco priore ad Patroclum, in posteriore a[d] vulnera refertur.
26. ευλας. Vermes: nempe, qui e muscarum ovis gignuntur.
27. εκ δ' αιων πεφαται. Ex eo verò vita occiditur, sub cute verò omn[ia] putrescent: αιων propriè medulla est dorsalis; Hesychius ex Hipp[o]crate. Aristarchus σαπη voluit, ut cum antecedentibus jungeretur.
29. μελοντων. cure sint: Forma quidem dualis est. Α. 567.
32. ει περ. Si tamen: Ita Σ. 164, et passim, et ita Cod. Harl. Vulg[o] ην περ.

Τω δε δυω σκαζοντε βατην θεραποντες Αρηος,
Τυδειδης τε μενεπτολεμος, και διος Οδυσσευς,
Εγχει ερειδομενω· ετι γερ' εχον ἑλκεα λυγρα·
Καδδε μετα πρωτῃ αγορῃ ἱζοντο κιοντες.
Αυταρ ὁ δευτατος ηλθε ϝαναξ ανδρων Αγαμεμνων,
Ἑλκος εχων· και γαρ τον ενι κρατερῃ ὑσμινῃ
Ουτα Κοων Αντηνορίδης χαλκηρεϊ δουρι.
Αυταρ επει δη παντες αολλισθησαν Αχαιοι,
Τοισι δ' ανισταμενος μετεφη ποδας ωκυς Αχιλλευς·
Ατρεϊδη, η αρ τι τοδ' αμφοτεροισιν αρειον
Επλετο, σοι και εμοι· ὁτε νωϊ περ, αχνυμενω κῆρ,
Θυμοβορῳ εριδι μενεηναμεν, εἱνεκα κουρης.
Την οφελ' εν νηεσσι κατακταμεν Αρτεμις ιῳ,
Ηματι τῳ, ὁτ' εγω ϝελομην, Λυρνησσον ολεσσας·
Τῳ κ' ου τοσσοι Αχαιοι οδαξ ϝελον ασπετον ουδας,
Δυσμενεων ὑπο χερσιν, εμευ απομνησαντος.
Ἑκτορι μεν και Τρωσι το κερδιον· αυταρ Αχαιους
Δηρον εμης και σης εριδος μνησεσθαι οϊω.
Αλλα τα μεν προτετυχθαι εϝασομεν, αχνυμενοι περ,
Θυμον ενι στηθεσσι ϝιλον δαμασαντες αναγκῃ.
Νυν δ' ητοι μεν εγω παυω χολον, ουδε τι με χρη
Ασκελεως αιει μενεαινεμεν· αλλ' αγε θασσον
Οτρυνον πολεμονδε καρηκομοωντας Αχαιους,
Ὀϝρ' ετι και Τρωων πειρησομαι αντιος ελθων,
Αι κ' εθελωσ' επι νηυσιν ιαυειν· αλλα τιν' οιω
Ασπασιως αυτων γονυ καμψειν, ὁς κε φυγησι
Δηϊου εκ πολεμωφιν ὑπ' εγχεος ἡμετεροιο.

---

35. Μηνιν αποϝριπτων. Iram abjiciens: Ita I. 513, Π. 282. Vulgò, αποειπων, quod nullâ ratione admitti potest; vide T. 75.

47. θεραποντες Αρηος. ministri Martis: ut alibi passim. Vulgò, Αρεος θεραποντε· sed Αρηος penultimam corripere nequit. B. 479.

56. η αρ τι. certè sanè quiddam: Forsitan, η κε ϝρα.

68. Ασκελεως. Indesinenter: ab α, non, et σκελος, tibia: Ασκελης, qui ita laborat, ut crura jam ei deficiant. Od. κ. 463.

72. γονυ καμψειν. genu flexuros: Vide H. 118.

73. πολεμωφιν. bello: Vulgò, πολεμοιο· vide B. 621.

Αυτικα μητερα ϝην ϝεπεα πτεροεντα προσηυδα·
Μητερ εμη, τα μεν ὁπλα Θεος πορεν, οἷ επιϝεικες
Ϝεργ' εμεν αθανατων, μηδε βροτον ανδρα τελεσσαι·
Νυν δ' ητοι μεν εγω θωρηξομαι· αλλα μαλ' αινως
Δειδω, μη μοι τοϝρα Μενοιτιου αλκιμον υἱον
Μυιαι καδδυσαι κατα χαλκοτυπους ωτειλας,
Ευλας εγγεινωνται, αϝεικισσωσι δε νεκρον·
Εκ δ' αιων πεφαται, κατα δε χροα παντα σαπειη.
Τον δ' ημειβετ' επειτα Θεα Θετις αργυροπεζα·
Τεκνον, μη τοι ταυτα μετα φρεσι σῃσι μελοντων·
Τῳ μεν εγω πειρησω αλαλκειν αγρια ϝυλα,
Μυιας, αἱ ϝρα τε ϕωτας Αϝρηϊϕατους κατεδουσιν·
Ει περ γαρ κειται γε τελεσϕορον εις ενιαυτον,
Αιει τῳ' εσται χρως εμπεδος, ἠ και αρειων.
Αλλα συ' εις αγορην καλεσας ἡρωας Αχαιους,
Μηνιν αποϝριπτων Αγαμεμνονι, ποιμενι λαων,
Αἶψα μαλ' ες πολεμον θωρησσεο, δυσεο δ' αλκην.
Ὡς αρα ϕωνησασα, μενος πολυθαρσες ενηκε·
Πατροκλῳ δ' αυτ' αμβροσιην και νεκταρ ερυθρον
Σταξε κατα ϝρινων, ἱνα ϝοι χρως εμπεδος ειη.
Αυταρ ὁ βη παρα θινα θαλασσης διος Αχιλλευς
Σμερδαλε' ιαχεων, ωρσεν δ' ἡρωας Αχαιους.
Και ϝρ' οἱ περ το παρος γε νεων εν αγωνι μενεσκον,
Οἵ τε κυβερνηται, και εχον οιηϊα νηων,
Και ταμιαι παρα νηυσιν εσαν, σιτοιο δοτηρες·
Και μην οἱ τοτε γ' εις αγορην ισαν, ουνεκ' Αχιλλευς
Εξεϕανη, δηρον δε μαχης επεπαυτ' αλεγεινης.

---

25. καδδυσαι. Patroclum subeuntes per vulnera: pro καταδυσαι. Præpositio non geminatur, sed in loco priore ad Patroclum, in posteriore ad vulnera refertur.

26. Ευλας. Vermes: nempe, qui e muscarum ovis gignuntur.

27. Εκ δ' αιων πεφαται. Ex eo verò vita occiditur, sub cute verò omnia putrescerent: Αιων propriè medulla est dorsalis; Hesychius ex Hippocrate. Aristarchus σαπῃ voluit, ut cum antecedentibus jungeretur.

29. μελοντων. curæ sint: Forma quidem dualis est. Α. 567.

32. Ει περ. Si tamen: Ita Τ. 164, et passim, et ita Cod. Harl. Vulgò, Ην περ.

Τω δε δυω σκαζοντε βατην θεραποντες Αρηος,
Τυδειδης τε μενεπτολεμος, και διος Οδυσσευς,
Εγχει ερειδομενω· ετι γεῤῥ' εχον ἑλκεα λυγρα·
Καδδε μετα πρωτῃ αγορῃ ἱζοντο κιοντες.
Αυταρ ὁ δευτατος ηλθε ϝαναξ ανδρων Αγαμεμνων,
Ἑλκος εχων· και γαρ τον ενι κρατερῃ ὑσμινῃ
Ουτα Κοων Αντηνοριδης χαλκηρεϊ δουρι.
Αυταρ επει δη παντες αολλισθησαν Αχαιοι,
Τοισι δ' ανισταμενος μετεφη ποδας ωκυς Αχιλλευς·
Ατρεϊδη, η αρ τι τοδ' αμφοτεροισιν αρειον
Επλετο, σοι και εμοι· ὁτε νωϊ περ, αχνυμενω κῆρ,
Θυμοβορῳ εριδι μενεηναμεν, εἱνεκα κουρης.
Την οφελ' εν νηεσσι κατακταμεν Αρτεμις ἰῳ,
Ηματι τῳ, ὁτ' εγω ϝελομην, Λυρνησσον ολεσσας·
Τῳ κ' ου τοσσοι Αχαιοι οδαξ ϝελον ασπετον ουδας,
Δυσμενεων ὑπο χερσιν, εμευ απομνησαντος.
Ἑκτορι μεν και Τρωσι το κερδιον· αυταρ Αχαιους
Δηρον εμης και σης εριδος μνησεσθαι οἰῳ.
Αλλα τα μεν προτετυχθαι εϝασομεν, αχνυμενοι περ,
Θυμον ενι στηθεσσι ϝιλον δαμασαντες αναγκῃ.
Νυν δ' ητοι μεν εγω παυω χολον, ουδε τι με χρη
Ασκελεως αιει μενεαινεμεν· αλλ' αγε θασσον
Οτρυνον πολεμονδε καρηκομοωντας Αχαιους,
Ὀϝρ' ετι και Τρωων πειρησομαι αντιος ελθων,
Αι κ' εθελωσ' επι νηυσιν ιαυειν· αλλα τιν' οιω
Ασπασιως αυτων γονυ καμψειν, ὁς κε ϕυγησι
Δηϊου εκ πολεμωϕιν ὑπ' εγχεος ἡμετεροιο.

---

35. Μηνιν αποῤῥιπτων. Iram abjiciens: Ita I. 513, Π. 282. Vulgò, αποειπων, quod nullâ ratione admitti potest; vide T. 75.

47. θεραποντες Αρηος. ministri Martis: ut alibi passim. Vulgò, Αρεος θεραποντε· sed Αρηος penultimam corripere nequit. B. 479.

56. η αρ τι. certè sanè quiddam: Forsitan, η κε ϝρα.

68. Ασκελεως. Indesinenter: ab α, non, et σκελος, tibia: Ασκελης, qui ita laborat, ut crura jam ei deficiant. Od. κ. 463.

72. γονυ καμψειν. genu flexuros: Vide H. 118.

73. πολεμωϕιν. bello: Vulgò, πολεμοιο· vide B. 621.

Ὡς εφαθ· οἱ δ' εχαρησαν εϋκνημιδες Αχαιοι,
Μηνιν αποφριπτοντος αγαυου Πηλεϊωνος.
Τοισι δε και μετεφειπε φαναξ ανδρων Αγαμεμνων,
Αυτοθεν εξ ἑδρης, ουδ' εν μεσσοισιν αναστας·
Ω φιλοι, ἡρωες Δαναοι, θεραποντες Αρηος,
Ἑσταοτος μεν καλον ακουεμεν, ουδε φεροικεν
Ὑββαλλειν· χαλεπον γαρ, επισταμενον περ εοντα.
Ανδρων δ' εν πολλῳ ὁμαδῳ πως κεν τις ακουσαι,
Η φειποι; βλαβεται δε φλιγυς περ εων αγορητης.
Πηλεϊδη μεν εγων ενδειξομαι· αυταρ οἱ αλλοι
Συνθεσθ' Αργειοι, μυθον τ' ευ γνωτε φεκαστος.
Πολλακι δη μοι τουτον Αχαιοι μυθον εφειπον,
Και τε με νεικεεσκον· εγω δ' ουκ αιτιος ειμι,
Αλλα Ζευς, και Φμοιρα, και ηεροφοιτις Ερινυς,
Οἱ τε μοι ειν αγορῃ Αφατην φρεσιν αγριον ἡκαν,
Ηματι τῳ, ὁτ' Αχιλληος γερας αυτος απεφρων.
Αλλα τι κεν φρεξαιμι; Θεος δια παντα τελευτᾷ.
Πρεσβα Διος θυγατηρ Αφατη, ἡ παντας αφασσεν,
Ουλομενη, της μεν θ' ἁπαλοι ποδες· ου γαρ επ' ουδει
Πιλναται, αλλα φρ' ἡγε κατ' ανδρων κραατα βαινει,
Βλαπτουσ' ανθρωπους· κατα δ' ουν ἑτερον γε πεδησε.
Και γαρ δη νυ ποτε Ζην' αφασε, τον περ αριστον
Ανδρων ηδε Θεων φασ' εμμεναι· αλλ' αρα και τον

---

75. Μηνιν αποφριπτοντος αγαυου Πηλεϊωνος. Iram abjiciente nobili Achille: Ita Κ. 392, et vide Τ. 35. Vulgò, Μηνιν απειποντος μεγαθυμου Πηλειωνος. Heynius, αποφειποντος αγαυου, proposuit. Bentleius versum rejicit.

77. Αυτοθεν εξ ἑδρης. Inde ex sede, neque in mediis assurgens dixit: Surrexit quidem Agamemnon, Τ. 79, sed non in medium prodiit. Nonnulli versum damnant.

79. Ἑσταοτος. Stantis: qui ad dicendum surrexerit.

80. Ὑββαλλειν. Interrumpere: pro ὑποβαλλειν, ut, ὑποβληδην, Α. 292.

87. ηεροφοιτις. tenebris incedens: ab ηηρ, et φοιταω.

88. αφατην φρεσιν αγριον ἡκαν· injuriam menti sævam immiserunt: Vulgò, φρεσιν εμβαλον αγριον ατην· sed αφατην esse oportet, Α. 412. Potuit etiam αρχην vel ὑβριν scripsisse. Knightius totum locum usque ad versum 136, ut digressionem prolixam et molestam, damnat.

91. ἡ παντας αφασσεν. quæ omnibus nocere solet: Ita, πεδησε, Τ. 94.

Ἥρη, θηλυς εουσα, δολοφροσυνῃς απατησεν,
Ηματι τῳ, ὁτ' εμελλε βιην Ἡρακλεεειην
Αλκμηνη τεξεσθαι εϋστεφανῳ ενι Θηβῃ.
Ητοι ὁγ' ευχομενος μετεφη παντεσσι Θεοισι· 100
Κεκλυτε μευ, παντες τε Θεοι, πασαι τε Θεαιναι,
Ὡς ϝειπω, τα με θυμος ενι στηθεσσιν ανωγει·
Σημερον ανδρα φαοσδε μογοστοκος Ειλειθυια
Εκφανει, ὁς παντεσσι περικτιονεσσι ϝαναξει,
Των ανδρων γενεης, οἱ θ' αἱματος εξ εμευ εισι. 105
Τον δε δολοφρονεουσα προσηυδα ποτνιας Ἡρη·
Ψευστης εις, ουδ' αυτε τελος μυθῳ επιθησεις·
Ει δ' αγε, νυν μοι ομοσσον, Ολυμπιε, καρτερον ὁρκον,
Η μην τον παντεσσι περικτιονεσσι ϝαναξειν,
Ὅς κεν επ' ηματι τῳδε πεσῃ μετα ποσσι γυναικος 110
Των ανδρων, οἱ σης εξ αἱματος εισι γενεθλης.
Ὡς εφατο· Ζευς δ' ουτι δολοφροσυνην ενοησεν,
Αλλ' ομοσε ϝμεγαν ὁρκον, επειτα δε πολλον αϝασθη.
Ἥρη δ' αἰξασα λιπε ϝριον Ουλυμποιο,
Καρπαλιμως δ' ἱκετ' Αργος Αχαιϊκον, ενθ' αρα ϝοιδει
Ιφθιμην αλοχον Σθενελου Περσηϊαδαο· 116
Ἡ δ' εκυει φιλον υἱον, ὁ δ' ἑβδομος ἑστηκει μεις·
Εκ δ' αγαγε προ φαοσδε, και ηλιτομηνον εοντα·
Αλκμηνης δ' απεπαυσε τοκον, σχεθε δ' Ειλειθυιας.

Vulgò, ἀᾶται· sed verbum non alibi nisi in aoristo occurrit, et in voce mediâ casum non regit.

93. αλλα ϝρ' ἰγε. at sanè illa: Vulgò, αλλ' αρα ἰγε. Bentleius, αλλα γαρ ἠδε, αλλ' αρα τη δε, et, περιη δε, proposuit. Heynius, αλλ' αρα τηγε.

95. Ζην' αϝασε. Jovi nocuit: MSS. Ζην' ασατο, et Ζην' ααϝσατο, sed vox activa postulatur, et verbum ita contrahi nequit. αϝασα, nocui, αϝασαμην, erravi, et αϝασθην, læsus sum, significant. Vide Θ. 237, Τ. 137, 113.

102. Ὡς ϝειπω. Ut dicam: Vulgò, Οφρ' ειπω· vide Η. 68.

106. ποτνιας. veneranda: Vulgò, ποτνια· vide Α. 551.

107. Ψευστης εις. Fallax es: Vulgò, Ψευστησεις, verbum tamen non alibi occurrit, nec formam sanam habet. Scholiastes lectionem Aristarcho deberi memorat. Hesychius, Ψευστης ης, habet, et vox occurrit, Ω. 261. Mallem, Ψευσεαι, ουδ' αρα τηγε.

117. μεις. mensis: genitivo μηνος.

118. ηλιτομηνον. quæ menses non explêrat: ab αλιτεω, et μεις. Vide Ι. 375.

Αυτη δ' αγγελεουσα Δια Κρονιωνα προσηυδα·
Ζευ πατερ, αργικεραυνε, ϝεπος τι τοι εν φρεσι θησω·
Ηδη ανηρ γεγον' εσθλος, ὃς Αργειοισι ϝαναξει,
Ευρυσθευς, Σθενελοιο παϊς Περσηϊαδαο,
Σον γενος· Αργειοισι ϝανασσεμεν ου ϝοι αϝεικες.
Ὡς φατο· τον δ' αχος οξυ κατα φρενα τυψε βαθειαν·
Αυτικα δ' εϝλ' Αϝατην κεφαλης ϝλιπαροπλοκαμοιο,
Χωομενος φρεσι ϝῃσι, και ωμοσε καρτερον ὅρκον,
Μη ποτ' ες Ουλυμπον τε και ουρανον αστεροεντα
Αυτις ελευσεσθαι Αϝατην, ἣ παντας αϝασσεν.
Ὡς ϝειπων, ϝ' εϝριψεν απ' ουρανου αστεροεντος,
Χειρι περιστρεψας· ταχα δ' ἱκετο ϝεργ' ανθρωπων.
Την αιει στεναχεσχ', ὁτε ϝον ϝιλον υἱον ὁρῷτο,
Ϝεργον αϝεικες εχοντα προς Ευρυσθηος αεθλων.
Ὡς και εγων, ὁτε δ' αυτε ϝμεγας κορυθαιολος Ἑκτωρ
Αργειους ολεκεσκεν επι πρυμνῃσι νεεσσιν,
Ου δυναμην λελαθεσθ' Αϝατης, ἣ πρωτον αϝασθην.
Αλλ' επει αϝασαμην, και μευ ϝρενας εκϝελετο Ζευς,
Αψ εθελω αρεσαι, δομεναι τ' απερεισι' αποινα.
Αλλ' ορσευ πολεμονδε, και αλλους ορνυθι λαους·
Δωρα δ' εγων ὁδε παντα παρασχειν, ὁσσα τοι ελθων
Χθιζος ενι κλισιηθιν ὑπεσχετο διος Οδυσσευς.
Ει δ' εθελεις, επιμεινον, επειγομενος περ Αϝρης·
Δωρα δε τοι θεραποντες, εμης παρα νηος ϝελοντες,
Οισουσ', ὁϝρα ϝιδῃαι, ὁ τοι μενοϝεικεα δωσω.
Τον δ' απαμειϐομενος προσεϕη ποδας ωκυς Αχιλλευς·

---

123. Περσηϊδαο. Persei filii: Perseus verò Jovis et Danaes filius.

124. Αργειοισι ϝανασσεμεν ου ϝοι αϝεικες. Argivis regnare non ei indecorum: Vulgò, ου οἱ αεικες αναασσεμεν Αργειοισιν· verba ob digamma transposui. Bentleius, et Dawesius, εν Αργειοισι ϝανασσειν, et, ὁς εν Φαιηξι ϝανασσε, citant, Od. ν. 62; cùm tamen hoc regimen non alibi occurrat, ὁς αρ, ibi emendandum. Nota, ου οἱ, non ουχ οἱ.

126. ϝλιπαροπλοκαμοιο. nitidis capillis: Vox non alibi occurrit.

133. προς Ευρυσθηος αεθλων. ab Eurysthei laboribus: Ita Cantabr. Heynio probante, et vide A. 3, z. 456, Ω. 734. Vulgò, ὑπ', contra metrum. Vide Æn. viii. 292.

Ατρείδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,
Δωρα μεν αι κ' εθελησθα παρασχεμεν, ὡς επιϝεικες,
Ητ' εχεμεν, παρα σοι· νυν δε μνησωμεθα χαρμης
Αιψα μαλ'· ου γαρ χρη κλοτοπευειν ενθαδ' εοντας,
Ουδε διατριβειν· ετι γαρ ϝμεγα ϝεργον αϝρεκτον·
Ὡς κε τις αυτ' Αχιληα μετα πρωτοισι ϝιδηται
Εγχει χαλκειῳ Τρωων ολεκοντα φαλαγγας·
Ὡς δε τις ὑμεοφιν μεμνημενος ανδρι μαχεσθω.
Τον δ' απαμειβομενος προσεφη πολυμητις Οδυσσευς·
Μηδ' οὑτως, αγαθος περ εων, θεοϝεικελ' Αχιλλευ,
Νηστιας οτρυνε προτι Ϝιλιον υἱας Αχαιων
Τρωσι μαχεσσομενους· επει ου κ ολιγον χρονον εσται
Φυλοπις, ευτε κε πρωτον ὁμιλησωσι φαλαγγες
Ανδρων, εν δε Θεος πνευσῃ μενος αμϕοτεροισιν.
Αλλα πασασθαι ανωχθι θοης επι νηυσιν Αχαιους
Σιτου και ϝοινοιο· το γαρ μενος εστι και αλκη.
Ου γαρ ανηρ προπαν ημαρ ες Ηελιον καταδυντα
Ακμηνος σιτοιο δυνησεται αντα μαχεσθαι.
Ει περ γαρ θυμῳ γε μενοιναα πολεμιζειν,
Αλλα τε λαθρη γυια βαρυνεται, ηδε κιχανει
Διψα τε και λιμος, βλαβεται δε τε γουνατ' ιοντι.
Ὅς δε κ' ανηρ, ϝοινοιο κορεσσαμενος και εδωδης,
Ανδρασι δυσμενεεσσι πανημεριος πολεμιζει,
Θαρσαλεον νυ ϝοι ητορ ενι ϕρεσιν, ουδε τι γυια
Πριν καμνει, πριν παντας εϝρωησαι πολεμοιο.
Αλλ' αγε, λαον μεν σκεδασον, και δειπνον ανωχθι

---

140. Δωρα δ' εγων ὁδε παντα παρασχειν. Dona verò ego hic omnia præbere: id est, εθελω, volo; T. 147. Verbum εθελω sæpe subauditur, ut T. 194, 261, A. 582, B. 125, Δ. 64, E. 124, et confer A. 277, B. 247. In linguâ Græcâ hodiernâ θελω cum infinitivo futuro inservit.

149. κλοτοπευειν. vana loqui: Thema non liquet.

153. Ὡς δε τις ὑμεοφιν. Ita verò quisque vestrûm: Heynius et Knightius versum damnant. Vulgò, ὑμειων, Δ. 348.

163. Ακμηνος. Impastus: ασιτος, νηστις, Hesychius; ab ακμα, jejunium. Iterum occurrit, T. 207, 320, 346, et Od. ϕ. 191.

164. μενοιναα. cupit: pro μενοιναει, quod mallem scribere.

Ὁπλεσθαι· τα δε δωρα ϝαναξ ανδρων Αγαμεμνων
Οισετω ες μεσσην αγορην, ἱνα παντες Αχαιοι
Οφθαλμοισι ϝιδωσι, συ δε φρεσι σῃσιν ιανθῃς.
Ομνυετω δε τοι ὁρκον, εν Αργειοισιν αναστας,
Μη ποτε της ευνης επιβημεναι, ηδε μιγηναι,
Ἡι θεμις εστι, ϝαναξ, ητ' ανδρων ητε γυναικων·
Και δε σοι αυτῳ θυμος ενι φρεσιν ἱλαος εστω·
Αυταρ επειτα σε δαιτιν ενι κλισιῃς αρεσασθω
Πιειρῃ, ἱνα μη τι δικης επιδευες εχησθα.
Ατρεϊδη, συ δ' επειτα δικαιοτερος και επ' αλλῳ
Εσσεαι· ου μεν γαρ τι νεμεσσητον, βασιληα
Ανδρ' απαρεσσασθαι, ὁτε τις προτερος χαλεπηνῃ.
Τον δ' αυτε προσεϝειπε ϝαναξ ανδρων Αγαμεμνων·
Χαιρω σευ, Λαερτιαδη, τον μυθον ακουσας·
Εν ϝμοιρῃ γαρ παντα διϊκεο και κατελεξας.
Ταυτα δ' εγων εθελω ομοσαι, κελεται δε με θυμος,
Ουδ' ὑπερορκησω, προς δαιμονος· αυταρ Αχιλλευς
Μιμνετω αυτοθι τειος, επειγομενος περ Αϝρηος·
Μιμνετε δ' αλλοι παντες αολλεες, ὁϝρα κε δωρα
Εκ κλισιης ελθωσι, και ὁρκια πιστα ταμωμεν.
Σοι δ' αυτῳ τοδ' εγων επιτελλομαι, ηδε κελευω·
Κριναμενος κουρητας αριστηας Παναχαιων,
Δωρα τ' εμης παρα νηος ενεγκεμεν, ὁσσ' Αχιληϊ
Χθιζον ὑπεστημεν δωσειν, αγεμεν τε γυναικας·

---

172. Ὁπλεσθαι. Parare: Iterum occurrit, Ψ. 159.
177. Ἡι θεμις. Bentleius, Heynius, et Knightius versum damnant.
188. Ουδ' ὑπερορκησω. Neque pejurabo: Vulgò, επιορκησω· vide Γ. 279.
189. αυτοθι τειος. ibi eousque: Vulgò, αυθι τεως γε, quod in metrum peccat. Hæc forma iterum postulatur, Υ. 42, et sæpe in Odysseâ pro τειως, et τεως μεν inferenda est. Vide Ω. 658, Ρ. 727, 730, Α. 193.
193. Κριναμενος κουρητας. Seligens juvenes: Bentleius, Κριναμενῳ, proposuit; Κριναμενον, præstaret; Α. 19, 541. Κουρητες quoque gens erant; Ι. 527. Hesychius, νεανιας, Strabo, νεους στρατιωτας, explicant.
194. Δωρα τ' εμης παρα νηος ενεγκεμεν. Donaque meâ a nave ferre: εθελε, subauditur; Τ. 140, Α. 582. Heynius, Δωρα τ' εμης, proposuit; MSS. Δωρα εμης, et, Δωρα δ' εμης· Strabo, Δωρα θοης, citat. Alii quoque, ενεικεμεν.
205. οτρυνετον. hortamini: id est, Agamemnon et Ulysses.

Ταλθυβιος δε μοι ωκα κατα στρατον ευρυν Αχαιων
Καπρον ἑτοιμασατω ταμεειν Διϊ τ' Ηελιῳ τε.
Τον δ' απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Ατρεϊδη κυδιστε, ϝαναξ ανδρων Αγαμεμνον,
Αλλοτε περ και μαλλον οφελλετε ταυτα πενεσθαι,
Ὁππότε τις μεταπαυσωλη πολεμοιο γενηται,
Και μενος ου τοσον ησιν ενι στηθεσσιν εμοισι.
Νυν δ' οἱ μεν κεαται δεδαϊγμενοι, οὑς εδαμασσεν
Ἑκτωρ Πριαμιδης, ὁτε οι Ζευς κυδος εδωκεν.
Ὑμεις δ' ες βρωτυν οτρυνετον· η κεν εγωγε
Νυν μεν ανωγοιμι πτολεμιζειν υἱας Αχαιων
Νηστιας, ακμηνους· ἁμα δ' Ηελιῳ καταδυντι
Τευξασθαι ϝμεγα δορπον, επει τισαιμεθα λωβην.
Πριν δ' ουπως κεν εμοιγε φιλον κατα λαιμον ιησιν
Ου ποσις, ουδε βρωσις, ἑταϝρου τεθνειωτος,
Ὅς μοι ενι κλισιῃ δεδαϊγμενος οξεϊ χαλκῳ
Κειται, ανα προθυρον τετραμμενος· αμφι δ' ἑταϝροι
Μυρονται· το μοι ουτι μετα ϕρεσι ταυτα μεμηλεν,
Αλλα ϕονος τε, και αἱμα, και αργαλεος στονος ανδρων.
Τον δ' απαμειβομενος προσεφη πολυμητις Οδυσσευς·
Ω Αχιλευ, Πηληος υἱϊ, ϝμεγα ϕερτατ' Αχαιων,
Κρεισσων εις εμεθεν και ϕερτερος ουκ ολιγον περ
Εγχει, εγω δε κε σειο νοηματι γε προβαλοιμην
Πολλον· επει προτερος γενομην, και πλεονα ϕοιδα·

---

208. Τευξασθαι. Struere: Ita MSS. et Edd. Vett. Alii, τευξεσθαι. Vulgò etiam, επην· sed particula sequelæ non postulatur.

209. ιησιν. eat: ab ειμι· ut I. 698. Vulgò, ἰειη, mitteret, quod loco non convenit. Vulgò, Πριν δ' ουπως δ' αν.

212. Κειται, ανα προθυρον τετραμμενος.

Compositus lecto, crassoque lutatus amomo,
In portam rigidos calces ostendit. Pers. iii. 105.

216. Πηληος υἱϊ. Pelei fili: Vide A. 489.

217. Κρεισσων εις εμεθεν. Tibi dextera bello
Fortior; ingenium est, quod eget moderamine nostri.
Ovid. Met. xiii. 361.

218. νοηματι γε. intelligentiâ quidem: Alii malè κεν, cùm jam in sententiâ legatur.

Τῳ τοι επιτλητω κραδιη μυθοισιν εμοισιν.
Αιψα τε φυλοπιδος πελεται κορος ανθρωποισιν,
Ἡς τε πλειστην μεν καλαμην χθονι χαλκος εχευεν·
Αμητος δ' ολιγιστος, επει κλινησι ταλαντα
Ζευς, ὁς τ' ανθρωπων ταμιης πολεμοιο τετυκται.
Γαστερι δ' ουπως εστι νεκυν πενθησαι Αχαιους.
Λιην γαρ πολλοι και επητριμοι ηματα παντα
Πιπτουσιν· ποτε κεν τις αναπνευσειε πονοιο·
Αλλα χρη τον μεν καταθαπτειν, ὁς κε θανησι,
Νηλεα θυμον εχοντας, επ' ηματι δακρυσαντας·
Ὁσσοι δ' αυ πολεμοιο περι στυγεροιο λιπωνται,
Μεμνησθαι ποσιος και εδητυος, ὁφρ' ετι μαλλον
Ανδρασι δυσμενεεσσι μαχωμεθα νωλεμες αιει,
Γεσσαμενοι χροϊ χαλκον ατειρεα· μηδε τις αλλην
Λαων οτρυντυν ποτιδεγμενος ισχαναασθω.
Ἡδε γαρ οτρυντυς κακον εσσεται, ὁς κε λιπηται
Νηυσιν επ' Αργειων· αλλ' αθροοι ὁρμηθεντες
Τρωσιν εφ' ἱπποδαμοισιν εγειρομεν οξυν Αρηα.
Η, και Νεστορος υἱας οπασσατο κυδαλιμοιο,
Φυλεϊδην τε Μεγητα, Θοαντα τε, Μηριονην τε,
Και Κρειοντιαδην Λυκομηδεα, και Μελανιππον·
Βαν δ' ιμεν ες κλισιην Αγαμεμνονος Ατρεϊδαο.
Αυτικ' επειθ' ἁμα μυθος εεν, τετελεστο δε ϝεργον·
Ἑπτα μεν εκ κλισιης τριποδας φερον, ους ϝοι ὑπεστη,
Αιθωνας δε λεβητας εφεικοσι, δωδεκα δ' ἱππους·
Εκ δ' αγον αιψα γυναικας, αμυμονα ϝεργα ϝιδυιας,

---

223. επει postquam : Vulgò, επην. Potuit etiam, επει ῥ' εκλινε, scripsisse, ut Ξ. 510. Confer Θ. 69.

224. ανθρωπων ταμιης πολεμοιο. dispensator belli hominum : Ita, Δ. 84. Daceria ανθρωποις volebat; sed ita Ανδρομαχη, hominum pugna, et ανδρων πολεμοι, Ω. 8.

226. Λιην γαρ πολλοι. Cicero ita hæc vertit, Disp. Tusc. 3.

Namque nimis multos, atque omni luce cadentes
Cernimus ; ut nemo possit mœrore vacare.
Quo magis est æquum tumulis mandare peremptos
Firmo animo, et luctum lacrymis finire diurnis.

230. Ὁσσοι δ' αυ Quot verò rursus : Vulgò, Ὁσσοι δ' αν· sed κεν esset, quod cum ὁσος jungi nequit ; Γ. 66.

Ἑπτ', αραρ ογδοατην, Βρισηϊδα καλλιπαρηον·
Χρυσου δε στησας Οδυσευς δεκα παντα ταλαντα,
Ηρχ', ἁμα δ' αλλοι δωρα φερον κουρητες Αχαιων·
Και τα μεν εν μεσσῃ αγορῃ θεσαν· αν δ' Αγαμεμνων
Ἱστατο· Ταλθυβιος δε, Θεῳ εναλιγκιος αυδην,
Καπρον εχων εν χερσι, παριστατο ποιμενι λαων.
Ατρεϊδης δε, φερυσσαμενος χειρεσσι μαχαιραν,
Ἥ ῥοι παρ ξιφεος μεγα κουλεον αιεν αορτο,
Καπρου απο τριχας αρξαμενος, Διϊ χειρας ανασχων,
Ευχετο· τοι δ' αρα παντες επ' αυτοφιν εἵατο σιγῃ
Αργειοι, κατα μοιραν ακουοντες βασιληος.
Ευξαμενος δ' αρα ειπε, ἰδων εις ουρανον ευρυν·
Ἴστω νυν Ζευς πρωτα, Θεων ὕπατος και αριστος,
Γαια, και Ηελιος, και Ερινυες, αἵ θ' ὑπο γαιαν
Ανθρωπους τινυνται, ὅτις χ' ὑπερ ὅρκον αφασσῃ·
Μη μεν εγω κουρῃ Βρισηϊδι χειρ' επενεικαι,
Ουτ' ευνης προφασιν κεχρημενος, ουτε τευ αλλου·
Αλλ' εμεν' απροτιμαστος ενι κλισιῃσιν εμῃσιν.
Ει δε τι τωνδ' ὑπερ ὅρκον, εμοι Θεοι αλγεα δοιεν
Πολλα μαλ', ὁσσα διδουσιν, ὅτις σφ' αλιτηται ομοσσας.
Η, και απο στομαχον καπρου ταμε νηλεϊ χαλκῳ·
Τον μεν Ταλθυβιος πολιης ἁλος ες μεγα λαιτμα
Ῥιψ' επιδινησας, βοσιν ιχθυσιν· αυταρ Αχιλλευς
Ανστας Αργειοισι φιλοπτολεμοισι μετηυδα·
Ζευ πατερ, η μεγαλας αρατας ανδρεσσι διδοισθα·
Ου κεν δη ποτε θυμον ενι στηθεσσιν εμοισιν

---

233. Γεσσαμενοι. Knightius quinque versus damnat.
238. οπασσατο. comites sibi sumpsit: κ. 238.
245. αμυμονα ἔργα ἰδυιας. eximia opera scientes: Vide ι. 128.
255. επ' αυτοφιν. ad eum: id est, ante porcum; vide β. 145, 411.
259. Γαια, και Ηελιος. Terra, et Sol: Vulgò, Γη τε· vide γ. 104.
260. ὁτις χ' ὑπερ ὁρκον αφασσῃ. quicunque contra juramentum peccaverit: Vulgò, επιορκον ομοσσῃ· vide γ. 279.
261. επενεικαι. intulisse: id est, ηθελον, volui; vide τ. 140. Ita MSS. et Edd. Stephanus επενεικα emendavit. Confer τ. 175, ψ. 585.
264. ὑπερ ὁρκον. contra juramentum: Vulgò, επιορκον· γ. 279.
265. ὁτις σφ' αλιτηται ομοσσας. quicunque eos offendat juratus: λ. 111.

Ατρεϊδης ωρινε διαμπερες, ουδε κε κουρην
Ηγεν, εμευ αφεκοντος, αμηχανος· αλλα ποθι Ζευς
Ηθελ' Αχαιοισιν θανατον πολεεσσι γενεσθαι.
Νυν δ' ερχεσθ' επι δειπνον, ινα ξυναγωμεν Αρηα.
Ως αρ εφωνησεν· λυσεν δ' αγορην αιψηρην.
Οι μεν αρ εσκιδναντο ϝεην επι νηα ϝεκαστος·
Δωρα δε Μυρμιδονες ϝμεγαλητορες αμφεπενοντο,
Βαν δ' επι νηα φεροντες Αχιλληος θειοιο·
Και τα μεν εν κλισιησι θεσαν, καθισαν δε γυναικας·
Ἱππους δ' εις αγελην ελασαν θεραποντες αγαυοι.
Βρισηϊς δ' αρ επειτα, φιλη χρυσεη Αφροδιτη,
Ως ϝιδε Πατροκλον δεδαϊγμενον οξει χαλκω,
Αμφ' αυτω χυμενη, ϝλιγ' εκωκυε, χερσι δ' αμυσσε
Στηθεα τ', ηδ' ἀπαλην δειρην, ιδε καλα προσωπα·
Γειπε δ' αρα κλαιουσα γυνη, ϝεικυια Θεῃσι·
Πατροκλε, μοι δειλη πλειστον κεχαρισμενε θυμω,
Ζωον μεν σεγ' ελειπον εγω, κλισιηθεν ιουσα,
Νυν δε σε τεθνειωτα κιχανομαι, ορχαμε λαων,
Αψ ανιουσ'· ὡς μοι δεχεται κακον εκ κακου αιει.
Ανδρα μεν, ᾧ εδοσαν με πατηρ και ποτνια μητηρ,
Προ πτολιος εϝιδον δεδαϊγμενον οξει χαλκω·
Τρεις τε κασιγνητους, τους μοι μια γεινατο μητηρ,
Κηδειους, οἱ παντες ολεθριον ημαρ επεσπον.
Ουδε μεν ουδ' εμ' εφασκες, ὁτ' ανδρ' εμον ωκυς Αχιλλευ

---

273. αμηχανος. inconsultus:

274. θανατον πολεεσσι γενεσθαι. mortem multis fieri: Bella a Deo permitti, ne genus humanum ultra modum crescat, multi opinantur.

276. αιψηρην. subitaneam: ab αιψα.

277. ϝεην. suam: Cod. Harl. θοην habet; vide A. 533.

282. Βρισηϊς. Totum locum usque ad versum 302 Heynius suspicatur et Knightius damnat. Est tamen pulcherrimus, et a Dionysio laudatur. φιλη χρυσεη Αφροδιτη. cara aureæ Veneri: Ita, Διϊ φιλος, Αρηϊφιλος, et, Θεοφιλος. Vulgò, επειθ' ἱκελη· sed ϝικελος digamma postulat; B. 478. Bentleius, Βρισηϊς δε δεμας ϝικελη. Potuit etiam, Θεᾳ ϝικελη Αφροδιτη, scripsisse.

287. Πατροκλε, μοι δειλη. Patrocle, mihi miseræ: Knightius Πατροκλ' secundam corripere non posse censet; vide Π. 693; in promptu est Πατροκλ', α δειλη, emendare.

Εκτεινεν, περσεν δε πολιν θειοιο Μυνητος,
Κλαιειν, αλλ᾽ εμ᾽ εφασκες Αχιλληος θειοιο
Κουριδιην αλοχον θησειν, αξειν τ᾽ ενι νηυσιν
Ες Φθιην, δαισειν δε γαμον μετα Μυρμιδονεσσι.
Τῳ σ᾽ αμοτον κλαιω τεθνηοτα, μειλιχον αιει. 300
Ὡς εφατο κλαιουσ᾽· επι δε στεναχοντο γυναικες,
Πατροκλον προφασιν, σφων δ᾽ αυτων κηδεα πασαι.
Αυτον δ᾽ αμφι γεροντες Αχαιων ηγερεθοντο,
Γλισσομενοι δειπνησαι· ὁ δ᾽ ηρνειτο στεναχιζων·
Γλισσομαι, ει τις εμοιγε φιλων επιπειθεθ᾽ ἑταιρων,
Μη με πριν σιτοιο κελευετε, μηδε ποτητος 306
Ασασθαι φιλον ητορ, επει μ᾽ αχος αινον ἱκανει·
Δυντα δ᾽ ες Ηελιον μενεω, και τλησομαι εμπης.
Ὡς ειπων, αλλους μεν απεσκεδασεν βασιληας·
Δοιω δ᾽ Ατρειδαι μενετην, και διος Οδυσσευς, 310
Νεστωρ, Ιδομενευς τε, γερων θ᾽ ἱππηλατα Φοινιξ,
Τερποντες πυκινως ακαχημενον· ουδε τι θυμῳ
Τερπετο, πριν πολεμου στομα δυμεναι αἱματοεντος.
Μνησαμενος δ᾽ αδινως ανενεικατο, φωνησεν τε·
Η ῥα νυ μοι ποτε και συ, δυσαῖμορε, φιλταθ᾽ ἑταιρων,
Αυτος ενι κλισιῃ λαρον παρα δειπνον εθηκας 316
Αιψα και οτραλεως, ὁποτε σπερχοιατ᾽ Αχαιοι
Τρωσιν εφ᾽ ἱπποδαμοισι φερειν πολυδακρυν Αρηα·
Νυν δε συ μεν κεισαι δεδαϊγμενος· αυταρ εμον κῆρ

---

288. Ζωον μεν σεγ᾽ ελειπον εγω. Vivum quidem te reliqui: Vulgò, Ζωον μεν σε ελειπον· Bentleius, σεγ᾽ ελειπον.

291. Ανδρα. Virum: Mynetem nempe, Lyrnessi regem; B. 689.

292. Προ πτολιος εϊδον. Ante urbem vidi: Vulgò, Ειδον προ πτολιος· vide Γ. 154.

302. σφων δ᾽ αυτων κηδεα πασαι. ipsarum verò dolores omnes: Ita T. 339, et sic de lusciniâ, et me tam suaviter illi Monstrati luctus faciunt meminisse meorum. Terrasonus locum hunc omnium in Iliade maximè subtilem judicat. Puellæ illæ infelices, regum filiæ, sed jam captivæ et servæ, patriis urbibus deletis, suisque omnibus interfectis, aliena mala sentire didicerant. Vulgò, κηδε᾽ ἑκαστη· vide E. 470.

314. Μνησαμενος δ᾽ αδινως ανενεικατο. Reminiscens verò perpetuò sibi rettulit: Patroclum nempe, et ejus merita. Interpretes, ingemuit, vertunt, sed non video quomodo hunc sensum obtineat.

Ακμηνον ποσιος και εδητυος ενδον εοντων,
Ση ποθη· ου μεν γαρ τι κακωτερον αλλο παθοιμι·
Ουδ' ει κεν του πατρος αποφθιμενοιο πυθοιμην,
Ὅς που νυν Φθιηθι τερεν κατα δακρυον ειβει,
Χητεϊ τοιουδ' υἱος· ὁ δ' αλλοδαπῳ ενι δημῳ
Εἵνεκα ῥιγεδανης Ἑλενης Τρωσιν πολεμιζω·
Ηε τον, ὃς Σκυρῳ μοι ενιτρεφεται φιλος υἱος,
Ει που ετι ζωει γε, Νεοπτολεμος θεοειδης.
Πριν μεν γαρ μοι θυμος ενι στηθεσσι ϝεφολπει,
Οιον εμε φθισεσθαι απ' Αργεος ἱπποβοτοιο,
Αυτοθ' ενι Τροϊῃ, σε δε τε Φθιηνδε νεεσθαι,
Ὡς κεν μοι τον παιδα θοῃ συν νηϊ μελαινῃ
Σκυροθεν εξαγαγοις, και ϝοι δειξειας ἁπαντα,
Κτησιν εμην, δμωας τε, και ὑψερεφες μεγα δωμα.
Ηδη γαρ Πηληα γ' οἴομαι η κατα παμπαν
Τεθναμεν, η που τυτθον ετι ζωοντ' ακαχησθαι,
Γηραϊ τε στυγερῳ, και εμην ποτιδεγμενον αιει
Λυγρην αγγελιην, ὁτ' αποφθιμενοιο πυθοιτο.
Ὡς εφατο κλαιων· επι δε στεναχοντο γεροντες,
Μνησαμενοι, τα ϝεκαστος ενι μεγαροισιν ελειπε.
Μυρομενους δ' αρα τουσγε ϝιδων ελεησε Κρονιων,
Αιψα δ' Αθηναιην ϝεπεα πτεροεντα προσηυδα·
Τεκνον εμον, δη παμπαν αποιχεαι ανδρος ενος·

---

323. φθιηθι. In Phthiâ: Vulgò, φθιηφι· vide B. 418. Knightius, φθι τερενα κατα δακρυα λειβει.

325. ῥιγεδανης. horribilis: a ῥιγεω.

326. Ηε τον. Aut eum: id est, αποφθισθαι, periisse; in promptu esset του emendare, sed nihil opus. Neoptolemus in Odysseâ memoratur; post mortem patris Trojam adiit, et post reditum Hermionen, Menelai et Helenæ filiam, matrimonio duxit. Hinc constat Achillem annos saltem sex et triginta ante natum fuisse. Annus jam vigesimus erat post Helenæ raptum. Knightius, cùm tempus non constare censeat, versus duodecim damnat. Scyrus in mari Ægæo est insula.

332. και ϝοι δειξειας ἁπαντα. et ei monstrares omnia: Vulgò, ἑκαστα· vide E. 470.

339. Μνησαμενοι. Vide T. 302. Alii, ελειπον.

340. Μυρομενους. Lugentes: Knightius iterum versus septendecim damnat, quia Achilles nocte priore cœnâsset. In linguam tamen Homericam

Η νυ τοι ουκετι παγχυ μετα φρεσι μεμβλετ' Αχιλλευς;
Κεινος όγε, προπαροιθε νεων ορθοκραιραων,
Ἡσται οδυρομενος ἑταιρον φιλον· οἱ δε δη αλλοι
Οιχονται μετα δειπνον, ὁ δ' ακμηνος και απαστος.
Αλλ' ιθι, οι νεκταρ τε και αμβροσιην ερατεινην
Σταξον ενι στηθεσσ', ἱνα μη μιν λιμος ἱκηται.
Ὡς ειπων, ωτρυνε παρος μεμαυιαν Αθηνην·
Ἡ δ', ἁρπη εικυια τανυπτερυγι, γλιγυφωνῳ,
Ουρανου εκκατεπαλτο δι' αιθερος· αυταρ Αχαιοι
Αυτικα θωρησσοντο κατα στρατον· ἡ δ' Αχιληϊ
Νεκταρ ενι στηθεσσι και αμβροσιην ερατεινην
Σταξ', ἱνα μη μιν λιμος ατερπης γουναθ' ἱκηται.
Αυτη δε προς πατρος ερισθενεος πυκινον δω
Ωιχετο· τοι δ' απανευθε νεων εχεοντο θοαων.
Ὡς δ' ὁτε ταρφειαι γνιφαδες Διος εκποτεονται,
Ψυχραι ὑπο ριπης αιθρηγενεος Βορεαο·
Ὡς τοτε ταρφειαι κορυθες, λαμπρον γανοωσαι,
Νηων εκφορεοντο, και ασπιδες ομφαλοεσσαι,
Θωρηκες τε κραταιγυαλοι, και εμειλινα δουρα·
Αιγλη δ' ουρανον ἱκε, γελασσε δε πασα περι χθων
Χαλκου ὑπ' αστεροπης· ὑπο δε κτυπος ωρνυτο ποσσιν
Ανδρων· εν δε μεσοισι κορυσσετο διος Αχιλλευς.
Του και οδοντων μεν καναχη πελε, τω δε οι ορσε

---

non peccant, et poeta nunquam lectorem Deorum dudum oblivisci patitur.

350. ἁρπη. milvo: ab ἁρπαζω.

351. εκκατεπαλτο. ex, deorsum, et super saliit: Ita, εξεπανεστη, B. 267; poeta præpositiones cumulare amat.

361. κραταιγυαλοι. fortes cavitates habentes: Thorax duas partes habebat, anteriorem et posteriorem, quæ fibulis nectebantur. Pausan. Phocic. x. 26.

362. γελασσε δε πασα περι χθων. ac latè fluctuat omnis
Ære renidenti tellus. Georgic. ii. 281.
Fulgur ibi ad cœlum se tollit, et omnis
Ære renidescit tellus, subterque virûm vi
Excitur pedibus sonitus. Lucret. ii. 327.

365. του. Knightius quatuor versus sine monitu omittit.

Λαμπεσθην, ὡς ει τε πυρος σελας· εν δε ϝοι ητορ
Δυν' αχος ατλητον· ὁ δ' αρα Τρωσιν μενεαινων
Δυσατο δωρα Θεου, τα ϝοι Ἥφαιστος καμε τευχων·
Κνημιδας μεν πρωτα περι κνημῃσιν εθηκε
Καλας, αργυρεοισιν επισφυριοις αραρυιας·
Δευτερον αυ θωρηκα περι στηθεσσιν εδυνεν·
Αμφι δ' αρ ωμοισιν βαλετο ξιφος αργυροηλον,
Χαλκεον· αυταρ επειτα σακος ϝμεγα τε στιβαρον τε
Εϝλετο, του δ' απανευθε σελας γενετ', ηϋτε μηνης.
Ὡς δ' ὁτε κ' εκ ποντοιο σελας ναυτῃσι φανειῃ
Καιομενοιο πυρος, το δε καιεται ὑψοθ' ορεσσι,
Σταθμῳ εν οιοπολῳ· τους δ' ουκ εθελοντας ακελλαι
Ποντον επ' ιχθυοεντα φιλων απανευθε φερουσιν·
Ὡς απ' Αχιλληος σακεος σελας αιθερ' ἱκανε,
Καλου, δαιδαλεου· περι δε τρυφαλειαν ακεiρας
Κρατι θετο βριαρην· ἡ δ', αστηρ ὡς, απελαμπεν,
Ἱππουρις· καλαι δε περιϝσειοντο ϝεθειραι
Χρυσεαι, ἁς Ἥφαιστος ἱει ϝλοφον αμφι θαμειας.
Πειρηθη δε ϝοι αυτου εν εντεσι διος Αχιλλευς,
Ει ϝοι εφαρμοσσειε, και εντρεχοι αγλαα γυια·
Τῳ δ' αυτε πτερα γινετ', ακειρε δε ποιμενα λαων.
Εκ δ' αρα συριγγος πατρωϊον εσπασατ' εγχος,
Βριθυ, ϝμεγα, στιβαρον· το μεν ου δυνατ' αλλος Αχαιων
Παλλειν, αλλα μιν οιος επισταto πηλαι Αχιλλευς,
Πηλιαδα ϝμελιην, την πατρι φιλῳ ταμε Χειρων

---

375. εκ ποντοιο. e mari: deinde enim ob curvaturam terræ oriri videretur. φανειῃ. appareat: Subjunctivus Ionicus; A. 26.

382. καλαι δε. pulchræ verò: Ita ex X. 315 reponendum. Vulgò, Ἱππουρις τρυφαλεια· περιϝσειοντο δ' εθειραι· vide Π. 795. Heynius et Knightius duos versus damnant.

384. Πειρηθη δε ϝοι αυτου. Expertus verò est sibi illico: Ita Edd. Vett. Stephanus, δ' ἑο αυτου, induxit.

386. Τῳ δ' αυτε πτερα γινετ'. Ei verò rursus alæ factæ sunt: Mireris poetæ ingenium, quod terræ affigi nequit; semper volare et in sublime ferri gestit. αυτε lectio est Aristarchi; alii, ηυτε, ευτε, et ὡς τε.

392. Αλκιμος. pro Αλκιμεδων, ut Πατροκλος pro Πατροκλεης.

393. ἑσαν. collocaverunt: ab ἱημι. Ita ab antiquis legi ex Eustathio constat. Alii, εσαν, erant.

Πηλιου εκ κορυφης, φονον εμμεναι ἡρωεσσιν.
Ἵππους δ' Αυτομεδων τε και Αλκιμος αμφις ἑποντες
Ζευγνυσαν, αμφι δε καλα λεπαδν' ἑσαν· εν δε χαλινους
Γαμφηλης εβαλον, κατα δ' ἡνια τειναν οπισσω
Κολλητον ποτι διφρον· ὁ δε, μαστιγα φαεινην 395
Χειρι μαβων αραρυιαν, εφ' ἱπποιϊν ανορουσεν
Αυτομεδων· οπιθεν δε κορυσσαμενος βη Αχιλλευς,
Τευχεσι παμφαινων, ὡς τ' Ηλεκτωρ Ὑπεριων.
Σμερδαλεον δ' ἱπποισιν εκεκλετο πατρος εοιο·
Ξανθε τε, και Βαλιε, τηλεκλυτα τεκνα Ποδαργης, 400
Αλλως δη φραζεσθε σαωσεμεν ἡνιοχηα
Αψ Δαναων ες ὁμιλον, επει χ' ἑομεν πολεμοιο,
Μηδ', ὡς Πατροκλον, λιπετ' αυτοθι τεθνειωτα.
Τον δ' αρ ὑπο ζυγοφιν προσεφη ποδας αιολος ἱππος
Ξανθος, αφαρ δ' ημυσε καρηατι, πασα δε χαιτη, 405
Ζευγλης εξεριπουσα παρα ζυγον, ουδας ἱκανεν·
Αυδηεντα δ' εθηκε Θεα λευκωλενος Ἡρη·
Και λιην σ' ετι νυν γε σαωσομεν, οβριμ' Αχιλλευ·
Αλλα τοι εγγυθεν ημαρ ολεθριον, ουδε τοι ἡμεις
Αιτιοι, αλλα Θεος τε μεγας και μοιρα κραταιη. 410
Ουδε γαρ ἡμετερη βραδυτητι τε νωχελιη τε
Τρωες απ' ωμοιϊν Πατροκλου τευχε' εἑλοντο·
Αλλα, Θεων ὁς αριστος, ὁν ηϋκομος τεκε Λητω,
Εκταν' ενι προμαχοισι, και Ἑκτορι κυδος εδωκε.
Νωϊ δε και κεν ἁμα πνοιῃ Ζεφυροιο θεοιμεν, 415

---

395. ὁ δε, μαστιγα. ille verò, scuticam: Vulgò, ὁ δ' αρ.

398. ὡς τ' Ηλεκτωρ Ὑπεριων. ut Sol Hyperi filius: Vide A. 14, Z. 513, Θ. 480. Knightius versus septem et viginti damnat.

402. επει χ' ἑομεν πολεμοιο. quando remittamus a bello: subjunctivus aoristi ab ἱημι. Ita, ανειῃ, B. 34, et στεομεν, Λ. 348. Alii, ἑωμεν, εὦμεν, χεομεν, et χεωμεν.

407. Αυδηεντα δ' εθηκε. Loquentem verò fecit: Numinis interventus miraculum non minuit, et credibile facit.

409. ουδε τοι. neque tibi: Alii, ουδε τι. Vide Γ. 164.

411. βραδυτητι τε νωχελιῃ τε. tarditate et infirmitate: Νωχελης, qui laborem tolerare nequit: a νη, et εχω.

413. ὁς αριστος. qui optimus: Vulgò, αριστος· vide Λ. 288.

Ἠὲ περ ελαφροτατην φασ' εμμεναι· αλλα σει αυτῳ
Γμορσιμον εστι, Θεῳ τε και ανερι γιφι δαμηναι. 417
Ὣς αρα φωνησαντος Ερινυες εσχεθον αυδην.
Τον δε γμεγ' οχθησας προσεφη ποδας ωκυς Αχιλλευς·
Ξανθε, τι μοι θανατον μαντευεαι; ουδε τι σε χρη.
Ευ νυ το γοιδα και αυτος, ὁ μοι γμορος ενθαδ' ολεσθαι,
Νοσφι φιλου πατρος και μητερος· αλλα και εμπης
Ου γληξω, πριν Τρωας αδην ελασαι πολεμοιο. 423
Η γρα, και εν πρωτοις ιαχων εχε μωνυχας ἱππους.

---

421. Ευ νυ το γοιδα. Bene jam hoc scio: Dignitatem miram Achillis fortitudini addit, quòd fati sui conscius in prœlium eat. Vulgò, Ευ νυ του αδε.
423. αδην ελασαι. abundè pellere: Vide E. 203.

ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Υ.

ARGUMENTA.

Θεομαχια.

Υ, παλιν αρσι Θεους Ζευς αμφοτεροισιν αρηγειν.

4. JUPITER Deos in concilium vocat, et suis quemque partibus opitulari hortatur.—79. Apollo Æneam in Achillem incitat.—112. Juno Achilli vult subvenire, sed Neptunus Deos pugnâ abstinere suadet.—156. Æneas et Achilles congrediuntur.—177. Achilles Æneam olim a se victum memorat.—199. Æneas genus suum exponit.—259. Ambo hastas incassum jaciunt.—290. Neptunus Æneam, Trojanis imperaturum, eripit.—353. Achilles et Hector suos incitant.—375. Apollo Hectorem Achilli adversari vetat.—381. Achilles Iphitionem, Demoleontem, et Polydorum interficit. —419. Apollo Hectorem eripit.—455. Achilles plures cædit.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Υ.

Ὡς οἱ μεν παρα νηυσι κορωνισι θωρησσοντο
Αμφι σε, Πηλεος υἱε, μαχης ακορητοι Αχαιοι·
Τρωες δ' αυθ' ἑτερωθεν επι θρωσμῳ πεδιοιο.
Ζευς δε Θεμιστα κελευσε Θεους αγορηνδε καλεσσαι
Κρατος απ' Ουλυμποιο πολυπτυχου· ἡ δ' αρα παντη
Φοιτησασα κελευσε Διος προς δωμα νεεσθαι. 6
Ουτε τις ουν Ποταμων απεεν, νοσφ' Ωκεανοιο,
Ουτ' αρα Νυμφαων, ται τ' αλσεα καλα νεμονται,
Και πηγας ποταμων, και πεισεα ποιηεντα.
Ελθοντες δ' ες δωμα Διος νεφεληγερεταο, 10
Ξεστῃς αιθουσῃσιν εφιζανον, ἁς Διϊ πατρι
Ἡφαιστος ποιησε ϝιδυιῃσι πραπιδεσσιν.
Ὡς οἱ μεν Διος ενδον αγηγερατ'· ουδ' Ενοσιχθων
Νηκουστησε Θεας, αλλ' εξ ἁλος ηλθε μετ' αυτους.
Ἰζε δ' αρ εν μεσσοισι, Διος δ' εξειρετο βουλην· 15
Τιπτ' αυτ', Αργικεραυνε, Θεους αγορηνδ' εκαλεσσας;
Η τι περι Τρωων και Αχαιων μερμηριζεις;
Των γαρ νυν αγχιστα μαχη πολεμος τε δεδηε.

---

2. μαχης ακορητοι Αχαιοι. belli insatiati Achivi: Ita Edd. Vett. Barnesius ακορητον cum MSS. nonnullis.

4. Θεμιστα. Themis, vel Justitia, Jovis præco erat; Mercurius et Iris non nisi nuntii.

7. Ουτε τις ουν Ποταμων. Fluviis, Nymphisque accitis, amplitudinem et dignitatem concilio addit.

9. πεισεα. convalles: loca irrigua et herbosa. Alii, πισεα.

11. Ξεστῃς αιθουσῃσιν. Politis porticibus: nempe, qui aulam circumdabant; domus enim numerum non excepisset.

18. αγχιστα μαχη. proximè pugna: id est, exercitus jam appropinquantur.

Τον δ' απαμειβομενος προσεφη νεφεληγερετα Ζευς·
Εγνως, Εννοσιγαιε, μεφιν εν στηθεσι βουλην,
Ων ἑνεκα ξυναγειρα· μελουσι μοι, ολλυμενοι περ.
Αλλ' ητοι μεν εγω μενεω πτυχιν Ουλυμποιο
Ημενος, ενθ' ὁρων φρενα τερψομαι· οἱ δε δη αλλοι
Ερχεσθ', ὁφρα χ' ἱκησθε μετα Τρωας και Αχαιους·
Αμφοτεροισι δ' αρηγεθ', ὁπη νοος εστι ἑκαστου.
Ει γαρ Αχιλλευς οιος επι Τρωεσσι μαχειται,
Ουδε μινυνθ' ἑξουσι ποδωκεα Πηλεϊωνα.
Και δε τε μιν και προσθεν ὑποτρομεεσκον ὁρωντες·
Νυν δ', ὁτε δη και θυμον ἑταιρου χωεται αινως,
Δειδω, μη και τειχος ὑπερ μορον ἑξαλαπαξῃ.
Ως εφατο Κρονιδης, πολεμον δ' αλιαστον εγειρε.
Βαν δ' ιμεναι πολεμονδε Θεοι, διχα θυμον ἑχοντες·
Ηρη μεν μετ' αγωνα νεων, και Παλλας Αθηνη,
Ηδε Ποσειδαων γαιηοχος, ηδ' εριουνης
Ερμειας, ὁς ενι φρεσι πευκαλιμῃσι κεκασται·
Ηφαιστος δ' ἁμα τοισι κιε, σθενεϊ βλεμεαινων,
Χωλευων, ὑπο δε κνημαι ἑρωοντο ϝαραιαι·
Ες δε Τρωας Αρης κορυθαιολος· αυταρ ἁμ' αυτῳ
Φοιβος ακερσεκομης, ηδ' Αρτεμις ιοχεαιρα,
Λητω τε, Ξανθος τε, φιλομμειδης τ' Αφροδιτη.
Εἱος μεν ῥ' απανευθε Θεοι θνητων εσαν ανδρων,
Τειος Αχαιοι μεν μεγ' εκυδανον, ουνεκ' Αχιλλευς
Εξεφανη, δηρον δε μαχης επεπαυτ' αλεγεινης·

---

20. μεφιν εν στηθεσι βουλην. meum in pectoribus consilium: Ita, με βουλεων, A. 273; vulgò, εμην· I. 57. Heynius, φιλοις· Bentleius, μεσ.

22. πτυχιν Ουλυμποιο. in recessu Olympi: Knightius, πτυχεσ', ut, κατα πτυχας, Λ. 77. Si quid mutandum, mallem, κορυφῃσιν Ολυμπου, legere.

25. Αμφοτεροισι. Jupiter non Deos ipsos pugnam inter se committere jubet.

34. εριουνης. valde utilis: ab ονημι, juvo; Mercurii epitheton.

39. ακερσεκομης. intonsis capillis: a κειρω, et κομη.

41. Εἱος, Τειος. Quamdiu, Tamdiu: Vulgò, Εως, et Τεως· vide A. 193, P. 727.

53. επι Καλλικολωνῃ. super Pulchro colle: Planitiei Trojanæ a parte Orientali erat, et Simoenti adjacebat. Alibi αιπεια κολωνη et Batiea nominatur; B. 811. In hoc colle Ilium Novum stetit, et hodie Kallifatli vocatur. Alii versus meridiem poni censent, ubi collis est pulcherrimus.

Τρωας δε τρομος αινος ὑπηλυθε γυια ϝεκαστον,
Δειδιοτας, ὁθ' ὁρῶντο ποδωκεα Πηλεϊωνα
Τευχεσι λαμπομενον, βροτολοιγῳ ϝισον Αρηϊ.
Αυταρ επει μεθ' ὁμιλον Ολυμπιοι ηλυθον ανδρων,
Ωρτο δ' Ερις κρατερη, λαοϝσοος· αυε δ' Αθηνη,
Σταδ' ὁτε μεν παρα ταφρον οϝρυκτην, τειχεος εκτος,
Αλλοτ' επ' ακταων εριδουπων μακρον αϋτει.
Αυε δ' Αρης ἑτερωθεν, ερεμνῃ λαιλαπι ϝισος,
Οξυ κατ' ακροτατης πολιος Τρωεσσι κελευων,
Αλλοτε παρ Σιμοεντι θεων επι Καλλικολωνῃ.
Ὡς τους αμϕοτερους μακαρες Θεοι οτρυνοντες,
Συμβαλον, εν δ' αυτοις εριδα ϝρηγνυντο βαρειαν.
Δεινον δ' εβροντησε πατηρ ανδρων τε Θεων τε
Ὑψοθεν· αυταρ ενερθε Ποσειδαων ετιναξε
Γαιαν απειρεσιην, ορεων τ' αιπεινα καρηνα.
Παντες δ' εϝσειοντο ποδες πολυπιδακος Ιδης,
Και κορυϕαι, Τρωων τε πολις, και νηες Αχαιων.
Εδδεισεν δ' ὑπενερθε ϝαναξ ενερων, Αιδωνευς,
Δεισας δ' εκ θρονου αλτο, και ιαχε· μη ϝοι ὑπερθε
Γαιαν αναϝρηξειε Ποσειδαων ενοσιχθων,
Ϝοικια δε θνητοισι και αθανατοισι ϕανειη
Σμερδαλε', ευρωεντα, τα τε στυγεουσι Θεοι περ.
Τοσσος αρα κτυπος ωρτο Θεων εριδι ξυνιοντων.
Ητοι μεν γαρ εναντα Ποσειδαωνι ϝανακτι
Ἱστατ' Απολλων Φοιβος, εχων ιους πτεροεντας·

---

61. Εδδεισεν δ' ὑπενερθε. Longinus locum laudavit.
Non secus ac si quâ penitus vi terra dehiscens
Infernas reseret sedes, et regna recludat
Pallida, Dis invisa, superque immane barathrum
Cernatur; trepidentque immisso lumine Manes. Æn. viii. 243.

65. ευρωεντα. situ obsita: vox ter in Odysseâ occurrit.

66. Τοσσος. Knightius versus novem damnat. Dawesius in Deorum pugnâ multa stolida et barbara inesse censet.

67. Ποσειδαωνι ϝανακτι. Neptuno regi: Ita Bentleius; vulgò, Ποσειδαωνος ϝανακτος· εναντα quidem non alibi occurrit; sed εναντιος passim dativum regit. Potuit etiam, γεϝρ' αντι, vel, Ποσειδαωνος αγαυου, scripsisse.

68. ιους πτεροεντας. sagittas alatas: ut Π. 773. Vulgò, ια πτεροεντα· sed hæc forma non alibi occurrit. Barnesius, πτεροεντας οἰστους. Bentleius, Θελεα πτεροεντα.

Αντα δ' Ενυαλιοιο Θεα γλαυκωπις Αθηνη·
Ἡρη δ' αντεστη χρυσηλακατος, κελαδεινη,
Αρτεμις ιοχεαιρα, κασιγνητη Ἑκατοιο·
Λητοϊ δ' αντεστη κρατυς Ἑρμειας εριουνης·
Αντα δ' αρ Ἡφαιστοιο μεγας Ποταμος βαθυδινης,
Ὀν Ξανθον καλεουσι Θεοι, ανδρες δε Σκαμανδρον.
Ὡς οἱ μεν Θεοι αντα Θεων ισαν· αυταρ Αχιλλευς
Ἑκτορος αντα μαλιστα λιλαιετο δυναι ὁμιλον
Πριαμιδεω· του γερα μαλιστα γε θυμος ανωγει
Αἱματος ασαι Αρηα, ταλαιρινον πολεμιστην.
Αινειαν δ' ιθυς λαοφσοος ωρσεν Απολλων
Αντια Πηλειωνος, ενηκε δε οἱ μενος ηϋ·
Υἱϊ δε Πριαμοιο Λυκαονι εισατο φωνην·
Τῳ μιν εισαμενος προσεφη Διος υἱος Απολλων·
Αινεια, Τρωων βουληφορε, που τοι απειλαι,
Τας Τρωων βασιλευσιν ὑπεσχεο οινοποταζων,
Πηλειδεω Αχιληος εναντιβιον πολεμιζειν;
Τον δ' αυτ' Αινειας απαμειβομενος προσεφειπε·
Πριαμιδη, τι με ταυτα και ουκ εθελοντα κελευεις,
Αντια Πηλειωνος ὑπερθυμοιο μαχεσθαι;
Ου μεν γαρ νυν πρωτα ποδωκεος αντ' Αχιληος
Στησομαι, αλλ' ηδη με και αλλοτε δουρι φοβησεν,
Εξ Ιδης, ὁτε βουσιν επηλυθεν ἡμετερῃσι·
Περσε δε Λυρνησσον και Πηδασον· αυταρ εμε Ζευς
Ερρυσαθ', ὁς μοι επωρσε μενος λαιψηρα τε γουνα·
Η κ' εδαμην ὑπο χερσιν Αχιλληος και Αθηνης,
Ἡ μοι προσθεν ιουσα τιθει φαος, ηδ' εκελευεν
Εγχεϊ χαλκειῳ Λελεγας και Τρωας εναιρειν.

---

293. κατηφησας. vultu demisso: sic, κατηφειη, Γ. 51.

Στη δε κατηφησας, ουδ' αλλ' εχε φμειλινον εγχος·
Δηϊφοβον δ' εκαλει λευκασπιδα, μακρον αϋσας·
Ηιτεε μιν δορυ μακρον· ὁ δ' ου ϝεθιν εγγυθεν ηεν.
Ἑκτωρ δ' εγνω ϝησιν ενι φρεσι, φωνησεν τε·
Ω ποποι, η μαλα δη με Θεοι θανατονδ' εκαλεσσαν·
Δηϊφοβον γαρ εγωγ' εφαμην ἡρωα παρειναι·
Αλλ' ὁ μεν εν τειχει, εμε δ' εξαπατησεν Αθηνη.
Νυν δε δη εγγυθι μοι θανατος κακος, ουδε τ' ανευθεν·
Ουδ' αλεη· η γεϝρα παλαι τογε φιλτερον ηεν
Ζηνι τε, και Διος υἱϊν Ἑκηβολῳ, οἱ με παρος γε
Προφρονες εϝρυαται· νυν αυτε με φμοιρα κιχανει·
Μη μαν ασπουδει γε και ακλεεως απολοιμην,
Αλλα φμεγα ϝρεξας τι και εσσομενοισι πυθεσθαι.
Ὡς αρα φωνησας, εϝρυσσατο φασγανον οξυ,
Το φλαπαρην ὑπο ϝοι τετατο φμεγα τε, στιβαρον τε·
Οιμησεν δε ϝαλεις, ὡς τ' αιετος ὑψιπετηεις,
Ὁς τ' εισιν πεδιονδε δια ϝνεφεων ερεβεννων,
Ἁρπαξων, η ϝαρν' αμαλην, η πτωκα λαγωον·
Ὡς Ἑκτωρ οιμησε τινασσων φασγανον οξυ.
Ὡρμηθη δ' Αχιλευς, μενεος δ' εμπλησατο θυμον
Αγριοφι· προσθεν δε σακος στερνοιο καλυψε
Καλον, δαιδαλεον· κορυθι δ' επενευε φαεινη,
Τετραφαλῳ, καλαι δε περιϝσειοντο ϝεθειραι
Χρυσεαι, ἁς Ἡφαιστος ἱει ϝλοφον αμφι θαμειας.
Οἱος δ' αστηρ εισι μετ' αστρασι νυκτος αμολγῳ,

---

295. ὁ δ' ου ϝεθιν. ille verò non ei: Vulgò, ὁ δ' ουτι οἱ.

301. Ουδ' αλεη. Heynius et Knightius tres versus damnant.

307. Το ϝλαπαρην ὑπο ϝοι τετατο. Qui sub ventre ei tendebatur: vel, Το ϝοι τετατο ϝοι ὑπο ϝλαπαρην. Vulgò, Το οἱ ὑπο λαπαρην τετατο.

308. ὡς τ' αιετος.

Qualis ubi aut leporem, aut candenti corpore cycnum
Sustulit alta petens pedibus Jovis armiger uncis;
Quæsitum aut matri multis balatibus agnum
Martius a stabulis rapuit lupus. Æn. ix. 563.

310. Αγριοφι. Sævi: Vulgò, Αγριον· vide B. 731.

316. Χρυσεαι. Knightius versum sine monitu omittit.

Γεσπερος, ὃς καλλιστος εν ουρανῳ ἱσταται αστηρ·
Ὡς αιχμης απελαμπ' ευηκεος, ἣν αρ Αχιλλευς
Παλλεν δεξιτερῃ, φρονεων κακον Ἕκτορι δίῳ,
Εισοροων χροα καλον, ὁπῃ ῥειξειε μαλιστα.
Του δε και αλλο τοσον μεν εχε χροα χαλκεα τευχη,
Καλα, τα Πατροκλοιο βιην εναριξε κατακτας·
Φαινετο δ', ἡ κληῖδες απ' ωμων αυχεν' εχουσι,
Λαυκανιης, ἱνα τε ψυχης ωκιστος ολεθρος·
Τῃ ῥ' επι οι μεμαως ελασ' εγχεϊ διος Αχιλλευς·
Αντικρυ δ' ἀπαλοιο δι' αυχενος ηλυθ' ακωκη·
Ουδ' αρ απ' ασφαραγον ῥμελιη ταμε χαλκοβαρεια,
Ὅφρα τι μιν προτιῥειποι αμειβομενος ῥεπεεσσιν.
Ηριπε δ' εν κονιηθ'· ὁ δ' επευξατο διος Αχιλλευς·

Ἕκτορ, αῥαρ που εφησθα σαος εμεν, εξεναριζων
Πατροκλον, εμε δ' ουδεν οπιζεο νοσφιν εοντα·
Νηπιε, τοιο δ' ανευθεν αοσσητηρ ῥμεγ' αμεινων
Νηυσιν επι γλαφυρῃσιν εγω μετοπισθε λελειμμην,
Ὅς τοι γουνατ' ελυσα· σε μεν κυνες ηδ' οιωνοι
Ἑλκησουσι κακως, τον δε κτεριουσιν Αχαιοι.

Τον δ' ολιγοδρανεων προσεφη κορυθαιολος Ἕκτωρ·
Ῥλισσομ' ὑπερ ψυχης, και γουνων, σων τε τοκηων,
Μη συ μ' εῥα παρα νηυσι κυνας καταδαψαι Αχαιων·

---

319. Ὡς αιχμης απελαμπε. Ita a cuspide fulsit: Verbum impersonaliter ponitur, quod rarò occurrit.

321. ὁπῃ ῥειξειε μαλιστα. ubi locus aptissimus esset: Σ. 520, Η. 217.

322. αλλο τοσον. aliud tantum: id est, quoad aliam omnem partem. Ita Ψ. 454.

325. Λαυκανιης. Gutturis: id est, χρως, cutis. Iterum occurrit, Π. 642.

328. ασφαραγον. tracheam: id est, canalis, quo spiritus emittitur. Plinius canalem animæ appellat.

329. Ὅφρα. Antiqui versum damnabant, et glossa videtur.

331. σαος εμεν, εξεναριζων Πατροκλον. salvus esse, spolians Patroclum. Vulgò, Πατροκλη' εξεναριζων, Σως εσσεσθ'· σαος tamen ita contrahi nequit.

336. κακως. indignè: Ita Antimachus, et ita A. 25. Vulgò, ακεως vel αἴκως, contra aut metrum aut analogiam.

338. Ῥλισσομ' ὑπερ ψυχης. miseri si te qua parentis
Tangere cura potest, oro, fuit et tibi talis
Anchises genitor, Dauni miserere senectæ;
Et me, seu corpus spoliatum lumine mavis,
Redde meis. Æn. xii. 932.

339. Μη συ μ' εῥα. Ne tu me sine: Vulgò, Μη με εα· vide Β. 272.

Αλλα συ μεν χαλκον τε ϝαλις, χρυσον τε δεδεξο,
Δωρα, τα τοι δωσουσι πατηρ και ποτνια μητηρ·
Σωμα δε ϝοικαδ' εμον δομεναι παλιν, ὁϝρα πυρος με
Τρωες και Τρωων αλοχοι λελαχωσι θανοντα.
Τον δ' αρ ὑποδρα ϝιδων προσεφη ποδας ωκυς Αχιλλευς·
Μη με, κυον, γουνων γουναζεο, μηδε τοκηων.
Αι γαρ πως αυτον με μενος και θυμος ανειη
Ωμ' αποταμνομενον κρεα' εδμεναι, οἱα ϝεϝοργας·
Ως ουκ εσθ', ὁς σης γε κυνας κεφαλης απαλαλκοι·
Ουδ' ει κεν δεκακις και εϝεικοσινηριτ' αποινα
Στησωσ' ενθαδ' αγοντες, ὑποσχωνται δε και αλλα·
Ουδ' ει κεν σ' αυτον χρυσῳ ϝερυσασθαι ανωγοι
Δαρδανιδης Πριαμος· ουδ' ὡς σεγε ποτνια μητηρ
Ενθεμενη λεχεεσσι γοησεται, ὁν τεκεν αυτη,
Αλλα κυνες τε και οιωνοι κατα παντα δασονται.
Τον δε καταθνησκων προσεφη κορυθαιολος Ἑκτωρ·
Η σ' ευ γινωσκων προτιϝοσσομαι, οὐδ' αρ εμελλον
Πεισειν· η γαρ σοιγε σιδηρεος ενδοθι θυμος·
Φραζεο νυν, μη τοι τι Θεων μηνιμα γενωμαι
Ηματι τῳ, ὁτε κεν σε Παρις και Φοιβος Απολλων,
Εσθλον εοντ', ολεσωσιν ενι Σκαιῃσι πυλῃσιν.
Ως αρα μιν ϝειποντα τελος θανατοιο καλυψε·

---

340. ϝαλις. abundè: Hæc vox in sex locis digamma postulat, in sex admittit, in tribus rejicit; P. 54, Φ. 236, 344.

346. Αι γαρ πως. Utinam enim quodammodo: Vim hæc ingentem habent, licèt a moribus nostris abhorreant; neque talia laudat poeta.

347. κρεα' εδμεναι, οἱα ϝεϝοργας. carnes edere, qualia fecisti: pro κρεατα· vulgò, κρεα. Vulgò etiam, οἱα μ' ϝοργας· vide B. 272.

349. εϝεικοσινηριτα. vicies cumulata: a νηεω, cumulo; I. 137. Vulgò, δεκακις τε, και εικοσινηριτ' αποινα. Vox ϝεϝεικοσι cum derivativis in locis duodecim hanc formam postulat, in septem aliis admittit, et in hoc et altero, 379, particulâ otiosâ omissâ. In tabulâ Heracleensi ϝεκατι scribitur, et vox Latina, viginti, digamma indicat. In omnibus igitur formam eandem exhibendam censui.

350. Στησωσι. Pendent: T. 247.

352. ουδ' ὡς σεγε ποτνια μητηρ. non te optima mater
Condet humi, patriove onerabit membra sepulcro;
Alitibus linquere feris, aut gurgite mersum
Unda feret, piscesque impasti vulnera lambent. Æn. x. 557.

356. προτιϝοσσομαι. alloquar: I. 167.

359. ὁτε κεν σε Παρις. Moribundi vim fatidicam habere credebantur.

Ψυχη δ' εκ φρεθεων πταμενη Αιδοσδε βεβηκει,
Ον ποτμον γοοωσα, λιπουσ' ανδροτητα και ηβην.
Τον και τεθνειωτα προσηυδα διος Αχιλλευς·
Τεθναθι· κηρα δ' εγω τοτε δεξομαι, ὁπποτε κεν δη
Ζευς εθελη τελεσαι, ηδ' αθανατοι Θεοι αλλοι.
Η φρα, και εκ νεκροιο φερυσσατο χαλκεον εγχος·
Και τογ' ανευθεν εθηκ', ὁ δ' απ' ωμων τευχε' εσυλα
Αἱματοεντ'· αλλοι δε περιδραμον υἱες Αχαιων,
Οἱ και θηησαντο φυην και ειδος αγητον
Ἑκτορος· ουδ' αρα οι τις ανουτητι γε παρεστη.
Ὡδε δε τις ειπεσκε ιδων ες πλησιον αλλον·
Ω ποποι, η μαλα δη μαλακωτερος αμφαφαασθαι
Ἑκτωρ, η ὁτε νηας ενεπρησεν πυρι κηλεῳ.
Ὡς αρα τις ειπεσκε, και ουτησασκε παραστας.
Τον δ' επει εξεναριξε ποδαρκης διος Αχιλλευς,
Στας εν Αχαιοισιν επεα πτεροεντ' αγορευεν·
Ω φιλοι, Αργειων ἡγητορες, ηδε μεδοντες,
Εξ ου δη τονδ' ανδρα Θεοι δαμασασθαι εδωκαν,
Ὁς κακα πολλα φρεδεσκεν, ὁσ' ου συμπαντες οἱ αλλοι·
Ει δ' αγετ', αμφι πολιν συν τευχεσι πειρηθειω,
Ὁφρα κε τι γνωω Τρωων νοον, ὁντιν' εχουσιν·
Η καταλειψουσιν πολιν ακρην, τουδε πεσοντος,
Ηε μενειν μεμαασι, και Ἑκτορος ουκ ετ' εοντος.
Αλλα τιη μοι ταυτα φιλος διελεξατο θυμος;
Κειται παρ νηεσσι νεκυς ακλαυστος, αθαπτος,
Πατροκλος· του δ' ουκ επιλησομαι, ὁφρα κ' εγωγε

---

362. Ψυχη. Knightius duos versus damnat; vide Π. 856.

365. Τεθναθι.

Nunc morere; ast de me Divûm pater atque hominum rex
Viderit. hoc dicens eduxit corpore telum. Æn. x. 743.

371. Ἑκτορος. Knightius versum damnat.

379. Εξ ου δη. Quandoquidem: Ita A. 6, et passim; vulgò, Επειδη quod idem valet, sed in metrum peccat, ut et Ψ. 2, et ter in Odyssea.

380. πολλα φρεδεσκε. multa fecit: Vulgò, πολλ' ερδεσκε· vide I. 536.

381. πειρηθειω, Ὁφρα κε τι γνωω. experiar, Ut tum quid noscam Trojanorum mentem, quamnam habent: Vulgò, πειρηθωμεν, Οφρα κε τι γνωμεν· sed πειρηθειομεν, et γνωμεν essent; A. 26, 411. Optimè Achilli conveniunt omnia in se posita censere; et ita T. 70. Alii, Οφρα κ' ετι. Forsitan etiam, οἱον εχουσιν, præstaret.

Ζωοισιν μετεω, και μοι φιλα γουνατ' ορωρη·
Ει δε θανοντων περ καταληθοντ' ειν Αϊδαο,
Αυταρ εγω και κειθι φιλου μεμνησομ' εταϝρου.
Νυν δ' αγ', αειδοντες Παιηονα, κουροι Αχαιων,
Νηυσιν επι γλαφυρῃσι νεωμεθα, τονδε δ' αγωμεν·
Ηρομεθα ϝμεγα κυδος· επεφνομεν Εκτορα διον,
Ωι Τρωες κατα ϝαστυ, Θεῳ ὡς, ευχετοωντο.
Η ϝρα, και Εκτορα διον αϝεικεα μηδετο ϝεργα·
Αμφοτερων μετοπισθε ποδων τετρηνε τενοντε
Ες σφυρον εκ πτερνης, βοεους δ' εξηπτεν ιμαντας,
Εκ διφροιο δ' εδησε· καρη δ' ελκεσθαι εϝασεν·
Ες διφρον δ' αναβας, ανα τε κλυτα τευχε' αειρας,
Ϝμαστιξεν ελαων, τω δ' ουκ αϝεκοντε πετεσθην·
Του δ' ην ελκομενοιο κονισαλος· αμφι δε χαιται
Κυανεαι πιμπλαντο, καρη δ' ἁπαν εν κονιηθι
Κειτο, παρος χαριεν· τοτε δε Ζευς δυσμενεεσσι
Δωκεν αϝεικισσασθαι εϝῃ ενι πατριδι γαιῃ.
Ως του μεν κεκονιτο καρη ἁπαν· ἡ δε νυ μητηρ
Τιλλε κομην, απο δε ϝλιπαρην εϝριψε καλυπτρην
Τηλοσε· κωκυσεν δε μαλα ϝμεγα, παιδα ϝιδουσα.
Ωιμωξεν δ' ελεεινα πατηρ ϝιλος, αμφι δε λαοι
Κωκυτῳ τ' ειχοντο, και οιμωγῃ κατα ϝαστυ·
Τῳ δε μαλιστ' αρ εεν εναλιγκιον, ὡς ει ἁπασα
Ϝιλιος οϝρυοεσσα πυρι σμυχοιτο κατακρης.
Λαοι μεν ϝρα γεροντα μολις εχον ασχαλοωντα,
Εξελθειν μεμαωτα πυλαων Δαρδανιαων·

---

391. Νυν δ' αγε. Knightius cum Bentleio quatuor versus damnat.

393. Ηρομεθα. Tulimus: Vulgò, Ηιραμεθα· vide Γ. 373.

394. κατα ϝαστυ. per urbem: Vox ϝαστυ in locis sexaginta digamma postulat, in septem et viginti admittit, in duobus tantùm rejicit; Λ. 732, Ζ. 274.

395. αϝεικεα. indecora: Poeta Achillis immanitatem improbat; unde constat, hæc non ab eo ficta, sed memoriâ tradita fuisse.

402. πιμπλαντο. implebantur: id est, pulvere. Alii, πιλναντο, πιτναντο, et, πεφορητο.

410. ὡς ει ἁπασα. ut si immissis ruat hostibus omnis
Carthago, aut antiqua Tyros; flammæque furentes
Culmina perque hominum volvantur perque Deorum. Æn. iv. 669.

Παντας δ' εβλιτανευε, κυλινδομενος κατα κοπρον,
Εξονομακληδην ονομαζων ανδρα βεκαστον·
Σχεσθε, φιλοι, και μ' οιον εβασατε, κηδομενοι περ,
Εξελθοντα ποληος, ἱκεσθ' επι νηας Αχαιων·
Βλισσομαι ανερα τουτον ατασθαλον, οβριμοεργον,
Ει πως ἠλικιην αιδεσσεται, ηδ' ελεησει
Γηρας· και δε νυ τῳδε πατηρ τοιοσδε τετυκται
Πηλευς, ὃς μιν ετικτε και ετρεφε, πημα γενεσθαι
Τρωσι· μαλιστα δ' εμοι περι παντων αλγε' εθηκε·
Τοσσους γαρ μοι παιδας απεκτανε τηλεθαοντας·
Των παντων ου τοσσον οδυρομαι, αχνυμενος περ,
Ὡς ἑνος, οὑ μ' αχος οξυ κατοισεται Αιδος εισω,
Ἑκτορος· ὡς οφελεν θανεειν εν χερσιν εμῃσι·
Τῳ κε κορεσσαμεθα κλαιοντε τε, μυρομενω τε,
Μητηρ θ', ἡ μιν ετικτε δυσαρμορος, ηδ' εγω αυτος.
Ὡς εφατο κλαιων· επι δε στεναχοντο πολιται.
Τρωϊασιν δ' Ἑκαβη οδινου εξηρχε γοοιο·
Τεκνον, εγω δειλη τι νυ βειομαι, αινα παθουσα,
Σευ αποτεθνειωτος; ὀ μοι νυκτας τε και ημαρ
Ευχωλη κατα βαστυ πελεσκεο, πασι τ' ονειαρ
Τρωσι τε και Τροϊῃσι κατα πτολιν, οἱ σε, θεον ὡς,
Δειδεχατ'· η γαρ κε σφι μαλα βμεγα κυδος εεσθα,
Ζωος εων· νυν αυ θανατος και βμοιρα κιχανει.
Ὡς εφατο κλαιουσ'· αλοχος δ' ουπω τι πεπυστο
Ἑκτορος· ου γαρ βοι τις ετητυμος αγγελος ελθων

---

414. Παντας δ' εβλιτανευε. Omnes verò orabat: Vulgò, ελλιταινευε.
418. Βλισσομαι. Orabo: Alii, Λισσωμ'.
419. Ει πως. Si quodammodo: Vulgò, Ην πως. Alii, ελεηση.
423. τηλεθαοντας. florentes: Ita MSS. ut et P. 55, quamvis τηλεθωντας legatur, Z. 148.
430. Τρωϊασιν. Trojanis: Vulgò, Τρωῃσιν· vide Γ. 384. Knightius, Τροβιδεσιν.
431. τι νυ βειομαι. quid jam vivam: O. 194.
435. η γαρ κε. certè enim tum: Forsitan, η γεβρα. Vulgò etiam recte sed sensus subjunctivum non admittit; vide B. 217.
441. θρονα. flores: Ita Hesychius. Vox non alibi occurrit.
447. Κωκυτου. pavidam volitans pennata per urbem

Ἠγγειλ', ὁρα ϝεθιν ποσις εκτοθι μιμνε πυλαων·
Αλλ' ἠγ' ἱστον ὑφαινε, μυχῳ δομου ὑψηλοιο,
Διπλακα μαρμαρεην, εν δε θρονα ποικιλ' επασσε·
Κεκλετο δ' αμφιπολοισιν εϋπλοκαμοις κατα δωμα
Αμφι πυρι στησαι τριποδα ϝμεγαν, ὁρα πελοιτο
Ἑκτορι θερμα λοετρα μαχης εκνοστησαντι·
Νηπιη, ουδ' ενοησεν, ὁ μιν μαλα τηλε λοετρων
Χερσιν Αχιλληος δαμασε γλαυκωπις Αθηνη.
Κωκυτου δ' ηκουσε και οιμωγης απο πυργου·
Της δ' εϝελιχθη γυια, χαμαι δε οι εκπεσε κερκις·
Ἡ δ' αυτις δμωῃσιν εϋπλοκαμοισι μετηυδα·
Δευτε, δυω μοι ἑπεσθε, ϝιδωμ', ἁ τε ϝεργα τετυκται·
Αιδοιης ϝεκυρης ϝοπος εκλυον, εν δε μοι αυτῃ
Στηθεσι παλλεται ητορ ανα στομα, νερθε δε γουνα
Πηγνυται· εγγυς δη τι κακον Πριαμοιο τεκεσσιν.
Αι γαρ απ' ουατος ειη εμευ ϝεπος· αλλα μαλ' αινως
Δειδω, μη δη μοι θρασυν Ἑκτορα διος Αχιλλευς,
Μουνον αποτμηξας πολιος, πεδιονδε διηται·
Και δη μιν καταπαυσῃ αγηνοριης αλεγεινης,
Ἥ μιν εχεσκ'· επει ουποτ' ενι πληθει μενεν ανδρων,
Αλλα πολυ προθεεσκε, το ϝον μενος ουδενι ϝεικων.
Ὡς ϕαμενη, ϝμεγαροιο διεϝσυτο, μαιναδι ϝισῃ,
Παλλομενη κραδιην· ἁμα δ' αμφιπολοι κιον αυτῃ.
Αυταρ επει πυργον τε και ανδρων ἱξεν ὁμιλον,
Εστη παπτηνασ' επι τειχεϊ· τον δ' ενοησεν

Nuntia fama ruit, matrisque adlabitur aures
Euryali; ac subitus miseræ calor ossa reliquit;
Excussi manibus radii, revolutaque pensa. Æn. ix. 473.

450. Δευτε, δυω μοι ἑπεσθε, ϝιδωμ', ἁ τε ϝεργα τετυκται. Huc, duo mihi sequimini, videam, quæ opera facta sunt: Vulgò, ἑπεσθον, ἰδωμ', ἅτιν' ἐργα τετυκται· quæ digamma perdito, ob metrum sunt emendationes; Potuit etiam, ϝιδωμ', ἁτιν' επλετο ϝεργα, scripsisse; Δ. 470. Knightius versum damnat.

454. Αι γαρ. Knightius sex versus omittit, quia orationem Andromaches nimis longam censeat.

458. ενι πληθει. in multitudine: Ita duo MSS. et ita P. 330, Ψ. 639. Alii, ενι πληθυϊ μεν' ανδρων, vel, ενι πληθυϊ μενεν ανδρων.

Ἑλκομενον προσθεν πολιος, ταχεες δε μιν ἱπποι
Ἑλκον ακηδεστως κοιλας επι νηας Αχαιων.
Την δε κατ' οφθαλμων ερεβεννη νυξ εκαλυψεν·
Ηριπε δ' εξοπισω, απο δε ψυχην εκαπυσσε.
Τηλε δ' απο κρατος χεε δεσματα σιγαλοεντα,
Αμπυκα, κεκρυφαλον τ', ηδε πλεκτην αναδεσμην,
Κρηδεμνον θ', ὁ ῥα οἱ δωκε χρυσεη Αφροδιτη,
Ηματι τῳ, ὁτε μιν κορυθαιολος ηγαγεθ' Ἑκτωρ
Εκ δομου Ηετιωνος, επει πορε μυρι' εεδνα·
Αμφι δε μιν γαλοῳ τε και ειναετερες ῥαλις εσταν,
Αι ῥε μετα σφισιν ειχον ατυζομενην απολεσθαι.
Ἡ δ' επει ουν αμπνυτο, και ες φρενα θυμος αγερθη,
Αμβληδην γοοωσα, μετα Τροϊῃσιν εφειπεν·
Ἑκτορ, εγω δυστηνος· ιῃ αρα γεινομεθ' αισῃ
Αμφοτεροι, συ μεν εν Τροϊῃ Πριαμου κατα δωμα,
Αυταρ εγω Θηβηθιν, ὑπο Πλακῳ ὑληεσσῃ,
Εν δομῳ Ηετιωνος, ὁ μ' ετρεφε τυτθον ουσαν,
Δυσμορος αινομορον· ὡς μη ωφελλε τεκεσθαι.
Νυν συ μεν εις Αιδαο δομους, ὑπο κευθεσι γαιης,
Ερχεαι, αυταρ εμε στυγερῳ ενι πενθει λειπεις
Χηρην εν μεγαροισι· παϊς δ' ετι νηπιος αυτως,
Ὁν τεκομεν, συ τ', εγω τε, δυσαμμοροι· ουτε συ τουτῳ
Εσσεαι, Ἑκτορ, ονειαρ, επει θανες· ουτε σοι οὗτος.

---

467. απεκαπυσσε. efflavit: a καπυς, spiritus; non alibi occurrit.

469. Αμπυκα. Frontale, pileumque, atque plexum redimiculum, Velumque: Ornamenta muliebria.

472. μυρι' εεδνα. innumeras dotes: Vulgò, μυρια εδνα· vide Π. 178.

473. γαλοῳ τε και ειναετερες. mariti sorores, et fratrum ejus uxores: Forsitan γαλαοι scribendum.

474. ατυζομενην απολεσθαι. conturbatam perire; id est, ita ut moribunda videretur.

475. Ἡ δε. Knightius totum locum usque ad finem libri damnat. Cur leves loquuntur, ingentes stupent.

476. Αμβληδην. Sursum jactans, abruptè: Ita, αμβολαδιν, Φ. 364.

479. Θηβηθιν. in Thebâ: Vulgò, Θηβῃσιν· sed nomen urbis Theba end. A. 366, B. 691, Z. 416. Strabo variam lectionem Θηβηθεν memorat, et MSS. unus Θηβηφιν habet. Vide B. 418.

Ει περ γαρ πολεμον γε φυγῃ πολυδακρυν Αχαιων,
Αιει τοι τουτῳ γε πονος και κηδε' οπισσω
Εσσοντ'· αλλοι γαρ σοι αποφρησουσιν αρουρας.
Ημαρ δ' ορφανικον παναφηλικα παιδα τιθησι·
Παντα δ' ὑπεμνησεν γε, δεδακρυνται δε παρειαι.
Δευομενος δε τ' ανεισι παϊς ες πατρος ἑταιρους,
Αλλον μεν χλαινης γερυων, αλλον δε χιτωνος·
Των δ' ελεησαντων κοτυλην τις τυτθον επεσχε,
Χειλεα μεν τ' εδιην', ὑπερωην δ' ουκ εδιηνε.
Τον δε και αμφιθαλης εκ δαιτυος εστυφελιξε,
Χερσιν πεπληγως, και ονειδειοισιν ενισσων·
Γερρ' οὑτως· ου σος γε πατηρ μεταδαινυται ἡμιν·
Δακρυοεις δε τ' ανεισι παϊς ες μητερα χηρην,
Φαστυφαναξ, ὁς πριν μεν εφου επι γουνασι πατρος
Μυελον οιον εδεσκε, και οιων πιονα δημον·
Αυταρ ὁθ' ὑπνος εφλοι, παυσαιτο τε νηπιαχευων,
Εὑδεσκ' εν λεκτροισιν, εν αγκαλιδεσσι τιθηνης,
Ευνῃ ενι μαλακῃ, θαλεων εμπλησαμενος κῆρ·
Νυν δε κε πολλα παθησι, φιλου απο πατρος ἁμαρτων,
Φαστυφαναξ, ὁν Τρωες επικλησιν καλεουσιν·
Οιος γαρ σφιν ερυσο πυλας και τειχεα μακρα.
Νυν δε σε μεν παρα νηυσι κορωνισι, νοσφι τοκηων,
Αιολαι ευλαι εδονται, επει κε κυνες κορεσωνται,

---

482. Νυν συ μεν εις Αϊδαο δομους. Nunc tu quidem ad Plutonis domos: Ita, Θ. 367, et passim. Vulgò, Νυν δε συ μεν Αΐδαο δομους, metro imperfecto.

487. Ει περ γαρ. Vulgò, Ην περ γαρ. Veteres tredecim versus damnabant.

489. αποφρησουσιν. abripient: ab αποφρημι, A. 356. Vulgò, απουρισσουσιν· sed MSS. nonnulli απουρησουσιν habent.

490. παναφηλικα. omnium æqualium societate privatum:

491. Παντα δ' ὑπεμνησεν γε. Omnia verò recordari eum faciunt: Ita, ὑπεμνησεν δε γε πατρος, Od. α. 321. Vulgò, ὑπεμνημυκε, quod Hesychius καταμεμυκε explicat; sed verbum non alibi occurrit, nec sanum videtur.

494. κοτυλην. cyathum parvum: Ε. 306, Ψ. 34.

495. ὑπερωην. palatum verò non humectavit: Vox non alibi occurrit.

496. αμφιθαλης. ex utrâque parte florens: id est, qui patrem et matrem habet; a θαλλω.

504. θαλεων. lautorum: Confer I. 143, 208, X. 87, 496.

Γυμνον· αϝαρ τοι ϝειματ' ενι ϝμεγαροισι κεονται,
Λεπτα τε και χαριεντα, τετυγμενα χερσι γυναικων.
Αλλ' ητοι ταδε παντα καταφλεξω πυρι κηλεϣ,
Ουδεν σοιγ' οφελος, επει ουκ εγκεισεαι αυτοις,
Αλλα προς Τρωων και Τρωϊαδων κλεος ειναι.
Ως εφατο κλαιουσ'· επι δε στεναχοντο γυναικες.

---

510. κεονται. jacent: a κεϝμαι.

ΟΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Ψ.

Γυμνον· αϝαρ τοι ϝειματ' ενι ϝμεγαροισι κεονται,
Λεπτα τε και χαριεντα, τετυγμενα χερσι γυναικων.
Αλλ' ητοι ταδε παντα καταφλεξω πυρι κηλεῳ,
Ουδεν σοιγ' οφελος, επει ουκ εγκεισεαι αυτοις,
Αλλα προς Τρωων και Τρωϊαδων κλεος ειναι.
Ως εφατο κλαιουσ'· επι δε στεναχοντο γυναικες.

---

510. κεονται. jacent: a κεῖμαι.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Ψ.

ARGUMENTA.

Αγων επιταφιος.
Ψι, Πατροκλον θαπτειν, αγωνα τε θεσθαι Αχιλλευς.

1. MYRMIDONES Patroclum lugent.—28. Achilles dapem funebrem instaurat.—59. Patrocli anima dormientem eum alloquitur.—110. Graeci Patroclo pyræ lignum parant.—140. Achilles capillum Patroclo tondet.—163. Curatores pyram extruunt. Achilles quatuor equos, duos canes, et duodecim Trojanos mactat.—185. Venus et Apollo Hectoris cadaver tutantur.—192. Achilles ventos precatur, ut pyram comburant.—228. Postero die, principes Achillem adeunt.—250. Pyram vino extinguunt, ossa colligunt, et tumulum parant.—257. Achilles præmia equitibus statuit.—287. Eumelus, Diomedes, Menelaus, Antilochus, et Meriones concurrunt.—204. Nestor Antilocho equitandi artem præcipit.—302. Currus emittuntur.—375. Primus Eumelus.—383. Apollo Diomedi scuticam aufert, sed Minerva eam reddit, jugumque Eumeli frangit.—398. Diomedes primum locum occupat, Menelaus secundum.—402. Antilochus equos alloquitur, et Menelaum in viâ arctâ præterit.—448. Idomeneus et Ajax minor verbis contendunt; reprimit eos Achilles.—499. Diomedes primus metam attingit, deinde Antilochus, Menelaus, Meriones, et Eumelus.—534. Achilles præmium secundum Eumelo vult dare, sed Antilochus cedere nonvult.—566. Menelaus juramentum ab Antilocho poscit.—586. Antilochus ei cedit.—601. Menelaus placatus præmium reddit.—615. Achilles poculum dat Nestori.—653. Epeus Euryalum pugilatu vincit.—700. Ajax major et Ulysses luctantur.—740. Ulysses Ajacem minorem, et Antilochum pedibus vincit.—798. Hastæ certamen inter Ajacem et Diomedem dirimunt Achivi.—826. Polypœtes Ajacem, Leonteum, et Epeum massæ ferreæ jactu vincit.—850. Teucer sagittâ funiculum abscindit, Meriones liberatam columbam transfigit.—885. Achilles Agamemnoni jaculationis præmium sine certamine adjudicat.

ΌΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Ψ.

Ὣς οἱ μεν στεναχοντο κατα πτολιν· αυταρ Αχαιοι,
Ἐξ οὗ δη νηας τε και Ἑλλησποντο ἱκοντο,
Οἱ μεν αρ εσκιδναντο ϝεην επι νηα ϝεκαστος·
Μυρμιδονας δ' ουκ ειϝα αποσκιδνασθαι Αχιλλευς,
Αλλ' ὄγε ϝοις ἑταϝροισι φιλοπτολεμοισι μετηυδα·
Μυρμιδονες ταχυπωλοι, εμοι εριηρες ἑταϝροι,
Μη δη πω ὑπ' οχεσφι λυωμεθα μωνυχας ἱππους,
Αλλ' αυτοις ἱπποισι και ἅρμασιν ασσον ιοντες,
Πατροκλον κλαιωμεν· ὁ γαρ γερας εστι θανοντων.
Αυταρ επει κ' ὀλοοιο τεταρπωμεσθα γοοιο,
Ἵππους λυσαμενοι δορπησομεν ενθαδε παντες.
Ὣς εφαθ'· οἱ δ' ὠμωξαν ἀολλεες· ηρχε δ' Αχιλλευς·
Οἱ δε τρις περι νεκρον εϋτριχας ηλασαν ἱππους
Μυρομενοι, μετα δε σφι Θετις γοου ἱμερον ωρσε.
Δευοντο ψαμαθοι, δευοντο δε τευχεα φωτων
Δακρυσι· τοιον γαρ ποθεον μηστωρα φοβοιο.
Τοισι δε Πηλεϊδης αδινου ἐξηρχε γοοιο,
Χειρας επ' ανδροφονους θεμενος στηθεσσιν ἑταϝρου·
Χαιρε μοι, ω Πατροκλε, και ειν Αϊδαο δομοισι·
Παντα γαρ ηδη τοι τελεω, τα παροιθεν ὑπεστην,

---

2. Ἐξ οὗ δη. Postquam: Vulgò, Επειδη· vide x. 379.
3. ϝεην. suam: Forsitan θοην· A. 533.
9. ὁ γαρ. hoc enim: M. 344, A. 333.
13. Οἱ δε τρις. Ter circum accensos cincti fulgentibus armis
Decurrere rogos; ter mœstum funeris ignem
Lustravere in equis, ululatusque ore dedere.
Spargitur et tellus lacrymis, sparguntur et arma. Æn. xi. 188.

Ἕκτορα δευρ' ἐρυσας δωσειν κυσιν ωμα δασασθαι·
Δωδεκα δε προπαροιθε πυρης αποδειροτομησειν
Τρωων αγλαα τεκνα, σεθεν κταμενοιο χολωθεις.
Η ῥα, και Ἕκτορα διον αρεικεα μηδετο ἐργα,
Πρηνεα παρ λεχεεσσι Μενοιτιαδαο τανυσσας
Εν κονιηθ'· οἱ δ' εντε' αφωπλιζοντο ἑκαστος
Χαλκεα, μαρμαιροντα· λυοντο δε μωνυχας ἵππους.
Καδδ' ἵζον παρα νηϊ ποδωκεος Αιακιδαο
Μυριοι· αυταρ ὁ τοισι ταφον μενοεικεα δαινυ.
Πολλοι μεν βοες αργοι ορεχθεον αμφι σιδηρῳ
Σφαζομενοι, πολλοι δ' οϊες και μηκαδες αιγες·
Πολλοι δ' αργιοδοντες ὑες, θαλεθοντες αλοιφῃ,
Εὑομενοι τανυοντο δια φλογος Ἡφαιστοιο·
Παντη δ' αμφι νεκυν κοτυληρυτον ἑρρεεν αἷμα.
Αυταρ τονγε ῥανακτα ποδωκεα Πηλεϊωνα
Εις Αγαμεμνονα διον αγον βασιληες Αχαιων,
Σπουδῃ παρπεπιθοντες, ἑταῖρου χωομενον κῆρ.
Οἱ δ' ὁτε δη κλισιην Αγαμεμνονος ἵξαν ιοντες,
Αυτικα κηρυκεσσι γλιγυφθογγοισι κελευσεν,
Αμφι πυρι στησαι τριποδα μεγαν, ει πεπιθοιεν
Πηλεϊδην λοεσασθαι απο βροτον αἱματοεντα.
Αυταρ ὁγ' ηρνειτο στερεως, επι δ' ὁρκον ομοσσεν·
Ου μα Ζην', ὁς τε ῥα Θεων ὑπατος και αριστος,
Ου θεμις εστι λοετρα καρηατος ασσον ἱκεσθαι,
Πριν γ' ενι Πατροκλον θεμεναι πυρι, σημα τε χευσαι,

---

21. Ἕκτορα δευρ' ἐρυσας. Hectorem huc trahens: Knightius tres versus damnat, quòd ἑρυσανς fuisse censeat.

27. λυοντο δε μωνυχας ἵππους. solverunt verò solidis ungulis equos: Ita P. 318, Ψ. 7, 11, et ita αφωπλιζοντο· non jam de captivis redimendis agitur; A. 13. Alii, λυον δ' ὑψηχεας ἵππους· sed non nisi Deorum equi altisoni vocantur.

29. ταφον μενοεικα δαινυ. cœnam sepulcralem animo gratam instauravit:

30. ορεχθεον. ingemuerunt: Hesychius, εστεναζον, εμυκῶντο, εβρυχηντο· alii, τανυοντο, extendebantur: alii, εκοπτοντο, mactabantur:

> Multa boum circà mactantur corpora morti;
> Setigerosque sues, raptasque ex omnibus agris
> In flammam jugulant pecudes. Æn. xi. 197.

Κειρασθαι τε κομην· επει ου μ᾽ ετι δευτερον ὡδε
Ἵξετ᾽ αχος κραδιην, ὁφρα ζωοισι μετειω.
Αλλ᾽ ητοι μεν νυν στυγερῃ πειθωμεθα δαιτι·
Ηοοθεν δ᾽ οτρυνε, ϝαναξ ανδρων Αγαμεμνον,
Ὑλην τ᾽ αξεμεναι, παρα τε σχειν, ὡς επιϝεικες
Νεκρον εχοντα νεεσθαι ὑπο ζοφον ηεροεντα·
Ὅϝρ᾽ ητοι τουτον μεν επιφλεγῃ ακαματον πυρ
Θασσον απ᾽ οφθαλμων, λαοι δ᾽ επι ϝεργα τραπωνται.
Ὡς εφαθ᾽· οἱ δ᾽ αρα του μαλα μεν κλυον, ηδ᾽ επιθοντο.
Εμσυμενως δ᾽ αρα δορπον εφοπλισσαντες ἁπαντες
Δαινυντ᾽· ουδε τι θυμος εδευετο δαιτος εϊσης.
Αυταρ επει ποσιος και εδητυος εξ ερον ἑντο,
Οἱ μεν κακκειοντες εβαν κλισιηνδε ϝεκαστος·
Πηλεϊδης δ᾽ επι θινι πολυφλοισβοιο θαλασσης
Κειτο βαρυστεναχων, πολεσιν μετα Μυρμιδονεσσιν,
Εν καθαρῳ, ὁθι κυματ᾽ επ᾽ ηϊονος κλυζεσκον·
Ευτε τον ὑπνος εμαρπτε, λυων μελεδηματα θυμου,
Ϝηδυμος αμφιχυθεις, μαλα γαρ καμε φαιδιμα γυια,
Ἕκτορ᾽ επαϊσσων προτι Ϝιλιον ηνεμοεσσαν,
Ηλθε δ᾽ επι ψυχη Πατροκλεος δειλοιο·
Παντ᾽ αυτῳ ϝμεγεθος τε και ομματα καλα ϝεοικει,
Και φωνην, και τοια περι χροϊ ϝειματα ϝεστο·
Στη δ᾽ αρ ὑπερ κεφαλης, και μιν προς μυθον εϝειπεν·
Εὑδεις, αυταρ εμειο λελασμενος επλευ Αχιλλευ·
Ου μεν μευ ζωοντος ακηδεες, αλλα θανοντος·

---

34. κοτυληρυτον. multùm : πολυ, ὡς τε κοτυλῃ αρυσασθαι. Hesych. Schol.

43. ὁς τε ϝρα. qui sanè : Vulgò, ὁστις τε, quod loco non convenit.

49. οτρυνε, ϝαναξ. incita, rex : Vulgò, οτρυνον.

51. Νεκρον. Heynius et Knightius versum damnant.

55. ἁπαντες. omnes : Vulgò, ἑκαστοι· vide Ε. 470.

62. Ευτε. Hæc omnia de Patrocli visu usque ad γοοιο, 108, quamvis pulcherrima, minùs exacta sunt.

66. ϝεοικει. similis erat : Vulgò, καλ᾽ εικυια· sed ϝεϝικυια esset ; Γ. 386.

70. ακηδεες. negligebas : Ita Heynius scribendum censet ; vulgò, ακηδεις, quod Scholiastes pro ηκηδεες esse monet. Vide Ξ. 427.

Θαπτεμεν, ὁφρα ταχιστα πυλας Αιδαο περησω.
Τηλε μ' εεργουσι ψυχαι, ειδωλα καμοντων,
Ουδε με πως μισγεσθαι ὑπερ ποταμοιο εἐωσιν·
Αλλ' αυτως αλαλημαι αν' ευρυπυλες Αιδος δω.
Και μοι δος την χειρ', ολοφυρομαι· ου γαρ ετ' αυτις
Νισσομαι εξ Αιδηφιν, επει με πυρος λελαχητε.
Ου μεν γαρ ζωοι γε φιλων απανευθεν ἑταιρων
Βουλας ἑζομενοι βουλευσομεν· αλλ' εμε μεν κηρ
Αμφεχανε στυγερη, ἡ περ λαχε γεινομενον περ·
Και σεθεν αυτῳ μοιρα, Θεοις επιείκελ' Αχιλλευ,
Τειχει ὑπο Τρωων ευηγενεων απολεσθαι.
Αλλο δε τοι ερεω, και εφησομαι, αι κε πιθηαι·
Μη εμα σων απανευθε τιθημεναι οστε', Αχιλλευ·
Αλλ' ὁμου ὡς ετραφημεν εν ὑμετεροισι δομοισιν,
Ευτε με τυτθον εοντα Μενοιτιος εξ Οποεντος
Ηγαγεν ὑμετερονδ', ανδροκτασιης ὑπο λυγρης,
Ηματι τῳ, ὁτε παιδα κατεκτανον Αμφιδαμαντος,
Νηπιος, ουκ εθελων, αμφ' αστραγαλοισι χολωθεις·
Ενθα με δεξαμενος εν δωμασιν ἱπποτα Πηλευς,
Ετρεφε τ' ενδυκεως, και σον θεραποντ' ονομηνεν.
Ὡς δε και οστεα νωϊν ὁμη σορος αμφικαλυπτοι,
Χρυσεος αμφιφορευς, τον τοι πορε ποτνια μητηρ.
Τον δ' απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Τιπτε μοι, ηθειη κεφαλη, δευρ' ειληλουθας,
Και μοι ταυτα εκαστ' επιτελλεαι; αυταρ εγω τοι

---

71. Θαπτεμεν, ὁφρα ταχιστα. Sepeli, ut quàm primùm: Infinitivus pro imperativo. Vulgò, Θαπτε με, ὁττι ταχιστα, metro imperfecto.

72. Τηλε μ' εεργουσι ψυχαι. Longè me cohibent animæ: vide P. 571. Π. 481, B. 617. Vulgò, Τηλε με ειργουσι. Vulgò etiam, ποταμοιο.

Nec ripas datur horrendas, nec rauca fluenta
Transportare priùs, quàm sedibus ossa quièrunt. Æn. vi. 327.

75. την χειρα. hanc manum: Knightius neque hunc articuli usum licere, nec, κηρ αμφεχανε, dici posse censet, unde quinque versus damnat. Da dextram misero. Æn. vi. 370. da jungere dextram. Æn. vi. 697.

76. εξ Αιδηφιν, επει. Revertar e Plutonis, postquam me ignem sortitæ feceritis: Vulgò, εξ Αἰδαο, επην.

79. Αμφεχανε. Circùm hiavit: ab αμφι, et χαινω.

80. Και σεθεν. Et tibi: Vulgò, Και δε σοι.

Παντα μαλ' εκτελεω, και πεισομαι, ὡς συ κελευεις.
Αλλα μοι ασσον στηθι· μινυνθα περ αμφιβαλοντε
Αλληλους, ολοοιο τεταρπωμεσθα γοοιο.
Ὡς αρα φωνησας, ωρεξατο χερσι φιλησιν,
Ουδ' εφλαβε· ψυχη δε κατα χθονος, ηϋτε καπνος, 100
Ωιχετο τετριγυια· ταφων δ' ανορουσεν Αχιλλευς,
Χερσι τε συμπλατάγησε, επος τ' ολοφυδνον εφειπεν·
Ω ποποι, η φρα τις εστι και ειν Αϊδαο δομοισι
Ψυχη και ειδωλον, αφαρ φρενες ουκ ενι παμπαν·
Παννυχιη γαρ μοι Πατροκλεος δειλοιο 105
Ψυχη εφεστηκει γοοωσα τε, μυρομενη τε,
Και μοι ἁπαντ' επετελλε· ἐεικτο δε θεσκελον αυτῳ.
Ὡς φατο· τοισι δε πασιν ὑφ' ἱμερον ωρσε γοοιο·
Μυρομενοισι δε τοισι φανη ῥοδοδακτυλος Ηως
Αμφι νεκυν ελεεινον. Αφαρ κρειων Αγαμεμνων 110
Ουρηας τ' ωτρυνε και ανερας, αξεμεν ὑλην,
Παντοθεν εκ κλισιων· επι δ' ανηρ εσθλος ορωρει
Μηριονης, θεραπων αγαπηνορος Ιδομενηος.
Οἱ δ' ισαν ὑλοτομους πελεκεας εν χερσιν εχοντες,
Σειρας τ' ευπλεκτους· προ δ' αρ ουρηες κιον αυτων· 115
Πολλα δ' αναντα, καταντα, παραντα τε, δοχμια τ', ηλθον·
Αλλ' ὁτε δη κνημους προσεβαν πολυπιδακος Ιδης,
Αυτικ' αρα δρυς ὑψικομους ταναηκεϊ χαλκῳ
Ταμνον επειγομενοι· ται δε μεγαλα κτυπεουσαι
Πιπτον· τας μεν επειτα διαπλησσοντες Αχαιοι, 120

---

82. εφησομαι. injungam: Ita Od. ν. 7. Æschines, συ δ' ενι φρεσι βαλλεο σῃσι, citat, et Knightius ita edidit.

91. ὁμη σορος. eadem urna: φιαλη vocatur, Ψ. 243. Vox σορος non alibi occurrit, et Knightius idcirco duos versus damnat.

100. Ουδ' εφλαβε. Ter conatus ibi collo dare brachia circùm;
Ter frustra comprensa manus effugit imago,
Par levibus ventis, volucrique simillima somno.
Æn. ii. 792. vi. 700.
Dixerat, et tenues fugit, ceu fumus, in auras.
Æn. v. 740. Georg. iv. 499.

107. ἁπαντα. omnia: Vulgò, ἑκαστα· vide E. 470. ἐεικτο. similis erat: a ἐοικμαι· vide A. 104.

120. διαπλησσοντες. diffindentes: Alii, διαπρησσοντες, alii, διαπλισσοντες.

Εκδεον ἡμιονων· ται δε χθονα ποσσι δατευντο,
Γιεμεναι πεδιοιο, δια ϝρωπηϊα πυκνα.
Παντες δ' ὑλοτομοι φιτρους φερον· ὡς γαρ ανωγει
Μηριονης, θεραπων αγαπηνορος Ιδομενηος·
Καδδ' αρ επ' ακτης βαλλον επισχερω, ενθ' αρ Αχιλλευς
Φρασσατο Πατροκλῳ ϝμεγα ϝηριον, ηδε οι αυτῳ.
Αυταρ επει παντη παρακαββαλον ασπετον ὑλην,
Εἱατ' αρ αυθι μενοντες αολλεες· αυταρ Αχιλλευς
Αυτικα Μυρμιδονεσσι φιλοπτολεμοισι κελευσε,
Χαλκον ζωννυσθαι, ζευξαι δ' ὑπ' οχεσφι ϝεκαστον
Ἱππους· οἱ δ' ωρνυντο, και εν τευχεσσιν εδυνον·
Αν δ' εβαν εν διφροισι παραιβαται, ἡνιοχοι τε·
Προσθε μεν ἱππηες, μετα δε ϝνεφος ἑσπετο πεζων,
Μυριοι· εν δε μεσοισι φερον Πατροκλον ἑταϝροι.
Θριξι δε παντα νεκυν κατεϝεινυον, ἁς επεβαλλον
Κειρομενοι· οπιθεν δε καρη εχε διος Αχιλλευς
Αχνυμενος· ἑταϝρον γαρ αμυμονα πεμπ' Αϊδοσδε.
Οἱ δ' ὁτε χωρον ἱκανον, ὁθι σφισι πεφραδ' Αχιλλευς,
Κατθεσαν· αιψα δε οι μενοϝεικεα νηεον ὑλην.
Ενθ' αυτ' αλλ' ενοησε ποδαρκης διος Αχιλλευς·
Στας απανευθε πυρης ξανθην απεκειρατο χαιτην,
Την ϝρα Σπερχειῳ ποταμῳ τρεφε τηλεθοωσαν·
Οχθησας δ' αρα ϝειπε, ϝιδων επι ϝοινοπα ποντον·
Σπερχει', αλλως σοιγε πατηρ ηρησατο Πηλευς,
Κεισε με νοστησαντα φιλην ες πατριδα γαιαν,
Σοι τε κομην κερεειν, ϝρεξειν θ' ἱερην ἑκατομβην·
Πεντηκοντα δ' ενορχα παρ' αυτοθι μηλ' ἱερευσειν
Ες πηγας, ὁθι τοι τεμενος βωμος τε θυηεις.

---

122. ϝιεμεναι πεδιοιο. Cupidæ planitiei: Vulgò, ϝλδομεναι· sed hæc forma non occurrit, nisi E. 481.
123. ανωγει. jussit: B. 280. φιτρος. truncus arboris: M. 29.
126. ϝμεγα ϝηριον. magnum sepulcrum: Vox non alibi occurrit. Forsitan, ϝμεγ' απριον, ut sit ab αειρω.
137. κατεϝεινυον. vestiebant: a ϝεω, induo: vulgò, κατειεινυον.
139. μενοϝεικεα. sufficientem: Non alibi nisi de cibo dicitur.
147. ενορχα μηλα. masculos oves: id est, arietes.

Ὡς ηρᾶθ' ὁ γερων, συ δε ϝοι νοον ουκ ετελεσσας.
Νυν δ' επει ου νεομαι γε φιλην ες πατριδα γαιαν,
Πατροκλῳ ἠρωϊ κομην οπασαιμι φερεσθαι.
Ὡς ϝειπων, εν χερσι κομην ἑταϝροιο φιλοιο
Θηκεν· τοισι δε πασιν ὑφ' ἱμερον ωρσε γοοιο·
Και νυ κ' οδυρομενοισιν εδυ φαος Ηελιοιο,
Ει μη Αχιλλευς αιψ' Αγαμεμνονι ϝειπε παραστας·
Ατρειδη, σοι γαρ τε μαλιστα γε λαος Αχαιων
Πεισονται μυθοισι, γοοιο μεν εστι και ασαι·
Νυν δ' απο πυρκαϊης σκεδασον, και δειπνον ανωχθι
Ὁπλεσθαι· ταδε δ' αμφιπονησομεθ', οἵσι μαλιστα
Κηδεος εστι νεκυς· παρα δ' οἱ τ' αγοι αμμι μενοντων.
Αυταρ επει τοϝ' ακουσε ϝαναξ ανδρων Αγαμεμνων,
Αυτικα λαον μεν σκεδασεν κατα νηας εϊσας,
Κηδεμονες δε παρ' αυθι μενον, και νηεον ὑλην.
Ποιησαν δε πυρην ἑκατομποδον ενθα και ενθα·
Εν δε πυρῃ ὑπατῃ νεκρον θεσαν, αχνυμενοι κῆρ.
Πολλα δε ϝιφια μηλα, και ειλιποδας ϝελικας βους
Προσθε πυρης εδερον τε, και αμφεπον· εκ δ' αρα παντων
Δημον ϝελων, εκαλυψε νεκυν ϝμεγαθυμος Αχιλλευς
Ες ποδας εκ κεφαλης, περι δε δρατα σωματα νηει.
Εν δε τιθει μελιτος και αλειφατος αμφιφορηας,
Προς λεχεα κλινων· πισυρας δ' εριαυχενας ἱππους
Ερσυμενως ενεβαλλε πυρῃ, ϝμεγαλα στοναχιζων.
Εννεα τῳγε ϝανακτι τραπεζηες κυνες ησαν,
Και μεν των ενεβαλλε πυρῃ δυο δειροτομησας·
Δωδεκα δε Τρωων ϝμεγαθυμων ὑϊας εσθλους,
Χαλκῳ δηϊοων· κακα δε φρεσι μηδετο ϝεργα·

---

151. οποσαιμι. præberem: optantis est.
159. Ὁπλεσθαι. Parare: T. 172.
160. Κηδεος. Affinitatis: Ita, κηδειος, T. 294.
168. Δημον ϝελων. Adipem capiens: nempe, ut corpus citiùs cremaretur.
169. δρατα. excoriata: a δερω.
176. κακα δε φρεσι μηδετο ϝεργα. prava verò animo cogitabat opera: Homerus passim monet ritus hos barbaros non ei cordi esse.

Εν δε πυρος μενος ηκε σιδηρεον, ὁφρα νεμοιτο.
Ωιμωξεν τ' αρ επειτα, φιλον δ' ονομηνεν ἑταιρον·
Χαιρε μοι, ω Πατροκλε, και ειν Αιδαο δομοισι·
Παντα γαρ ηδη τοι τελεω, τα παροιθεν ὑπεστην.
Δωδεκα μεν Τρωων μεγαθυμων υἱας εσθλους,
Τους ἁμα σοι παντας πυρ εσθιει· Ἑκτορα δ' ουτι
Δωσω Πριαμιδην πυρι δαπτεμεν, αλλα κυνεσσιν.
Ὡς φατ' απειλησας· τον δ' ου κυνες αμφεπενοντο·
Αλλα κυνας μεν αλαλκε Διος θυγατηρ Αφροδιτη
Ηματα και νυκτας· ροδοεντι δε χριεν ελαιῳ,
Αμβροσιῳ, ἱνα μη μιν αποδρυφοι ἑλκυσταζων·
Τῳ δ' επι κυανεον νεφος ηγαγε Φοιβος Απολλων
Ουρανοθεν πεδιονδε· καλυψε δε χωρον ἁπαντα,
Ὁσσον επειχε νεκυς, μη πριν μενος Ηελιοιο
Σκηλει' αμφι περι χροα ἱνεσιν, ηδε μελεσσιν.
Ουδε πυρη Πατροκλου εκαιετο τεθνειωτος.
Ενθ' αυτ' αλλ' ενοησε ποδαρκης διος Αχιλλευς·
Στας απανευθε πυρης, δοιοις ηρᾶτ' Ανεμοισι,
Βορῃ και Ζεφυρωθιν, ὑπεσχετο θ' ἱερα καλα·
Πολλα δε και, σπενδων χρυσεῳ δεπαϊ, ῥλιτανευεν
Ελθεμεν, ὁφρα ταχιστα πυρι φλεγεθοιατο νεκροι,
Ὑλη τε ῥσευαιτο καημεναι· ωκα δε Ῥιρις
Αραων αϊουσα μεταγγελος ηλθ' Ανεμοισιν.
Οἱ μεν αρα Ζεφυροιο δυσαεος αθροοι ενδον
Ειλαπινην δαινυντο· θεουσα δε Ῥιρις επεστη
Βηλῳ επι λιθεῳ· τοι δ' ὡς ἰδον οφθαλμοισι,

---

177. Εν δε πυρος. Ignis verò vim injecit ferream, ut depasceret:

187. αποδρυφοι ἑλκυσταζων. dilaniaret trahens: nempe Achilles post currum.

191. Σκηλειε. Exsiccaret: Hesychius et Eustathius hanc lectionem præbent; alii, Σκηλη. ῥινεσιν, ηδε μελεσσιν. nervis, et membris:

195. Ζεφυρωθιν. Zephyro: Dativus antiquus; A. 208, B. 418, 621, Δ. 276. Vulgò, Ζεφυρῳ, και ὑπεσχετο ἱερα καλα, metro imperfecto. Potuit etiam, ῥεῤεμεν ἱρα, scripsisse.

197. φλεγεθοιατο νεκροι. cremarentur cadavera: multa enim in pyrâ erant. Ita Venetus. Vulgò malè, νεκρον.

Παντες ανηϊξαν, καλεον δε μιν ες ῥε ἑκαστος·
Ἡ δ' αυθ' ἑζεσθαι μεν ανηνατο, ῥειπε δε μυθον·
Ουχ ἑδος· ειμι γαρ αυτις επ' Ωκεανοιο ῥεεθρα,
Αιθιοπων ες γαιαν, ὁθι ῥεζουσ' ἑκατομβας
Αθανατοις, ἱνα δη και εγω μεταδαισομαι ἱρων·
Αλλ' Αχιλευς Βοῤῥην ηδε Ζεφυρον κελαδεινον
Ελθειν αρᾶται, και ὑπισχεται ἱερα καλα,
Ὁῤῥα πυρην ορσητε καημεναι, ᾗ ενι κειται
Πατροκλος, τον παντες αναστεναχουσιν Αχαιοι.
Ἡ μεν αρ ὡς ῥειπουσ' απεβησατο· τοι δ' ορεοντο
Ϝηχῃ θεσπεσιῃ, ῥνεφεα κλονεοντε παροιθεν·
Αιψα δε ποντον ἱκανον αημεναι· ωρτο δε κυμα
Πνοιῃ ὑπο ῥλιγυρῃ· Τροϊην δ' εριβωλον ἱκεσθην,
Εν δε πυρῃ πεσετην, ῥμεγα δ' ιαχε θεσπιδαες πυρ·
Παννυχιοι δ' αρα τοιγε πυρης αμυδις φλογ' εβαλλον,
Φυσῶντε ῥλιγεως· ὁ δε παννυχος ωκυς Αχιλλευς
Χρυσεου εκ κρητηρος, εχων δεπας αμφικυπελλον,
Ϝοινον αφυσσομενος χαμαδις χεε, δευε δε γαιαν,
Ψυχην κικλησκων Πατροκλεος δειλοιο.
Ὡς δε πατηρ ϝου παιδος οδυρεται οστεα καιων
Νυμφιου, ὁς τε θανων δειλους ακαχησε τοκηας·
Ὡς Αχιλευς ωδυρεθ', ἑταῤῥοφιν οστεα καιων,
Ἑρπυζων παρα πυρκαϊην, αδινα στοναχιζων.
Ημος δ' αστηρ εισι, φαος ῥερεων επι γαιαν,
Ὁν τε μετα κροκοπεπλος ὑπερ ἁλα κιδναται Ηως,
Τημος πυρκαϊη εμαραινετο, παυσατο δε φλοξ.

---

198. Ὑλη τε ϝσευαιτο καημεναι. Lignumque properaret comburi: MSS. et Edd. σευαιτο, εσσευαιτο, ει, εσσευοιτο. ωκα δε Ϝιρις. citò verò Iris: Ita Bentleius; vulgò, ωκεα δ' Ιρις. B. 786.

224. ωδυρεθ', ἑταῤῥοφιν οστεα καιων. lamentabatur, sodalis ossa cremans: Vulgò, ἑταιρου οδυρετο οστεα καιων, quod bis in metrum peccat; vide B. 145.

226. Ημος δ' αστηρ εισι. Quando verò stella vadit: id est, quâ horâ oriri solet. Vulgò, Ημος δ' Εωσφορος εισι, quod mera est glossa, et omnimodis in metrum peccat; Ησσφορος enim esset. Sic, Od. ν. 93.

Ευτ' αστηρ ὑπερεσχε φααντατος, ὁς ῥα μαλιστα
Ερχεται αγγελλων φαος Ηοος πριγενειης.

Οἱ δ' Ανεμοι παλιν αυτις εβαν ϝοικονδε νεεσθαι,
Θρηϊκιον κατα ποντον· ὁ δ' εστενεν, οιδματι θυων.
Πηλεϊδης δ' απο πυρκαϊης ἑτερωσε λιασθεις,
Κλινθη κεκμηως, επι δε γλυκυς ὑπνος ορουσεν.
Οἱ δ' αμφ' Ατρεϊωνας ασλλεες ηγερεθοντο·
Των μιν επερχομενων ὁμαδος και δουπος εγειρεν·
Ἑζετο δ' ορθωθεις, και σφεας προς μυθον εφειπεν·
Ατρεϊδη τε, και αλλοι, αριστηες Παναχαιων,
Πρωτον μεν κατα πυρκαϊην σβεσατ' αιθοπι ϝοινῳ
Πασαν, ὁσσον επεσχε πυρος μενος· αυταρ επειτα
Οστεα Πατροκλοιο Μενοιτιαδαο λεγωμεν,
Ευ διαγινωσκοντες· αριφραδεα δε τετυκται·
Εν μεσσῃ γαρ εκειτο πυρῃ, τοι δ' αλλοι ανευθεν
Εσχατιῃ καιοντ' επιμιξ ἱπποι τε και ανδρες·
Και τα μεν εν χρυσειῃ φιαλῃ και διπλακι δημῳ
Θειομεν, εισοκεν αυτος εγων Αϊδοσδε νεωμαι.
Τυμβον δ' ου μαλα πολλον εγω πονεεσθαι ανωγα,
Αλλ' επιρρεικεα τοιον· επειτα δε και τον Αχαιοι
Ευρυν θ' ὑψηλον τε τιθημεναι, οἱ κεν εμειο
Δευτεροι εν νησσι πολυκληϊσι λιπησθε.
Ὡς εφαθ'· οἱ δ' επιθοντο ποδωκεϊ Πηλεϊωνι·
Πρωτον μεν κατα πυρκαϊην σβεσαν αιθοπι ϝοινῳ,
Ὁσσον επι φλοξ ηλθε, βαθεια δε καππεσε τεφρη·
Κλαιοντες δ' ἑταιρωφιν ενηεος οστεα λευκα

---

244. Αϊδοσδε νεωμαι. ad Plutonis domum eam: Ita, Φ. 48, Η. 330, et passim. Vulgò, αἶδι κευθωμαι, quod dici nequit, cùm Αϊς Pluto sit, inferorum Deus, nec alium sensum habet. Hesychius, Etymologus Magnus, et Scholiastes videntur κλευθωμαι pro κελευθωμαι legisse, quod verum sensum indicat, sed verbum non alibi occurrit.

252. ἑταιρωφιν ενηεος. comitis eximii: vide Β. 621. Vulgò, ἑταιρων. Potuit etiam, Ενθ' ἑταιρου κλαιοντες ενηεος, scripsisse.

255. Τορνωσαντο δε σημα. Rotundum verò fecerunt tumulum: Tumuli Patrocli, Achillis, et Antilochi in Sigeo promontorio etiamnum conspiciuntur, ut et Ajacis in Rhœteo, et Protesilai in Thraciâ. Constans fama haud facilè falli potest.

259. Νηων δ' ενφερ' αεθλα. E navibus verò ferebat præmia. Aristophanes tres versus damnabat, quia mulieres agantur, non ferantur. Vide Ψ. 263.

Αλλεγον ες χρυσεην φιαλην, και διπλακα δημον.
Εν κλισιηθι δε θεντες, εανῳ λιτι καλυψαν·
Τορνωσαντο δε σημα, θεμειλια τε προβαλοντο
Αμφι πυρην· ειθαρ δε χυτην επι γαιαν εχευαν·
Χευαντες δε το σημα, παλιν κιον. Αυταρ Αχιλλευς
Αυτοθι λαον ερυκε, και ἱζανεν ευρυν αγωνα·
Νηων δ' εκφερ' αεθλα, λεβητας τε, τριποδας τε,
Ἱππους θ', ἡμιονους τε, βοων τ' ιφθιμα καρηνα,
Ηδε γυναικας εϋζωνους, πολιον τε σιδηρον·
Ἱππευσιν μεν πρωτα ποδωκεσιν αγλα' αεθλα
Θηκε, γυναικα φερεσθαι, αμυμονα ϝεργα ϝιδυιαν,
Και τριποδ' ουατοεντα δυωκαιεϝεικοσιμετρον,
Τῳ πρωτῳ· αϝαρ αυ τῳ δευτερῳ ἱππον εθηκεν
Ἑξϝετε', αδμητην, βρεφος ἡμιονον κυεουσαν·
Αυταρ τῳ τριτατῳ απυρον κατεθηκε λεβητα,
Καλον, τεσσαρα μετρα κεχανδοτα, λευκον ετ' αυτως·
Τῳ δε τεταρτῳ θηκε δυο χρυσοιο ταλαντα·
Πεμπτῳ δ' αμφιθετον φιαλην απυρωτον εθηκε·
Στη δ' ορθος, και μυθον εν Αργειοισιν εϝειπεν·
Ατρειδη τε, και αλλοι εϋκνημιδες Αχαιοι,
Ἱππηας ταδ' αεθλα δεδεγμενα κειτ' εν αγωνι.
Ει μεν νυν τῳ επ' αλλῳ αεθλευοιμεν Αχαιοι,
Η κεν εγω τα πρωτα ϝλαβων κλισιηνδε ϝεροιμην.
Ϝιστε γαρ, ὁσσον εμοι αρετη περιβαλλετον ἱπποι·

---

263. γυναικα φερεσθαι. mulierem ferre: id est, adipisci, ut Ψ. 275, 538, et passim. Vulgò, αγεσθαι, quæ Aristophanis emendatio est contra metrum, causâ, quâ supra, Ψ. 259.

264. ουατοεντα. auritum: ab ους. Ita asinus θηρ ουατοεις a Callimacho vocatur, Eustathio teste. Idem, κυνας ουατιους, habet; H. ad Diau. 91. Vulgò, ωτωεντα.

270. Πεμπτῳ δε. Quinto verò: Hinc constat Homerum articulum pro lubitu omittere; A. 33, B. 278. φιαλην. poculum: αμφιθετον. quod ambabus manibus in ignem poni possit: ita, αμφιφορευς, Ψ. 92. Alii malè αμφικυπελλον fuisse censent. Iterum memoratur, Ψ. 616.

274. Ει μεν νυν τῳ επ' αλλῳ. Si quidêm nunc super alium: id est, in alius cujusvis honorem. Ita A. 299, et vide B. 225. Vulgò, Ει μεν νυν επι αλλῳ· sed επι non elidi nequit. Heynius et Knightius tredecim versus damnant.

275. Η κεν εγω. Certè tum ego: Vulgò, Ητ' αν εγω.

Αθανατοι τε γαρ εισι· Ποσειδαων δ' επορ' αυτους
Πατριν εμῳ Πηληϊν, ὁ δ' αυτ' εμοι εγγυαλιξεν.
Αλλ' ητοι μεν εγω μενεω, και μωνυχες ἱπποι·
Τοιου γαρ σθενος εσθλον απωλεσαν ἡνιοχοιο
Ηπιου, ὁς σφωϊν μαλα πολλακις ὑγρον ελαιον
Χαιταων κατεχευε, λοεσσας ὑδατι λευκῳ.
Τον τωγ' ἑσταοτες πενθειετον, ουδεϊ δε σφι
Χαιται ερηρεδαται, τῳ δ' ἑστατον αχνυμενω κῆρ·
Αλλοι δε στελλεσθε κατα στρατον, ὁστις Αχαιων
Ἱπποισιν τε πεποιθε και ἁρμασι κολλητοισιν.
Ὡς φατο Πηλεϊδης· ταχεες δ' ἱππηες εγερθεν·
Ωρτο πολυ πρωτος ϝρα ϝαναξ ανδρων Ευμηλος,
Αδμητου φιλος υἱος, ὁς ἱπποσυνῃ εκεκαστο·
Τῳ δ' επι Τυδεϊδης ωρτο κρατερος Διομηδης,
Ἱππους δε Τροϊους ὑπαγε ζυγον, οὑς ποτ' απεϝρα
Αινειαν, αϝαρ αυτον ὑπεξεσαωσεν Απολλων·
Τῳ δ' αρ επ' Ατρεϊδης ωρτο ξανθος Μενελαος,
Διογενης, ὑπο δε ζυγον ηγαγεν ωκεας ἱππους,
Αιθην την Αγαμεμνονεην, τον εϝον τε Ποδαργον·
Την Αγαμεμνονι δωκ' Αγχισιαδης Εχεπωλος
Δωρ', ἱνα μη ϝοι ἑποιθ' ὑπο Ϝιλιον ηνεμοεσσαν,
Αλλ' αυτου τερποιτο μενων· ϝμεγα γαρ ϝοι εδωκε
Ζευς αφενος, ναιεν δ' ὁγ' εν ευρυχορῳ Σικυωνι·
Την ὁγ' ὑπο ζυγον ηγε ϝμεγα δρομου ισχανοωσαν·
Αντιλοχος δε τεταρτος εὑτριχας ὡπλισαθ' ἱππους,

---

278. Πατριν εμῳ Πηληϊν. Patri meo Peleo: Facilè, Πηλεϊ πατρι φιλῳ, [illegible] αρ αυτ' εμοι, scripsisse potuit. Vide A. 578.

283. πενθειετον. dolent: a πενθειω, quod eâdem ratione ac τελειω et [illegible] formatur. A. 5. Knightius tamen verbum damnat.

284. ερηρεδαται. affiguntur: tertia pluralis ab ερηρεισμαι, quod ab [illegible]

288. πρωτος ϝρα ϝαναξ. Vulgò, πρωτος μεν αναξ· vide H. 162.

294. Διογενης. Jove genitus: Menelaus forsitan ita vocatur, quòd Jovis filiam matrimonio duxerat, unde ad campos Elysios sine morte transit, Od. δ. 561. Forsitan etiam, Διοτρεφης, legendum. Vide A. 337.

300. ϝμεγα δρομου ισχανοωσαν. valdè cursu persistentem: Ita P. 572.

305. Μυθειτ' εις αγαθα. Consiliatus est ad bona: Ita, Ϝειπειν εις αγαθα, I. 102, Heynio monente.

Νεστορος αγλαος υἱος ὑπερθυμοιο ϝανακτος
Του Νηληϊαδαο· Πυλοιγενεες δε ϝοι ἱπποι
Ωκυποδες φερον ἁρμα· πατηρ δε ϝοι αγχι παραστας
Μυθειτ' εις αγαθα φρονεων νοεοντι και αυτῳ· 305
Αντιλοχ', ητοι μεν σε νεον περ εοντ' εφιλησαν
Ζευς τε Ποσειδαων τε, και ἱπποσυνας εδιδαξαν
Παντοιας· τῳ κεν σε διδασκεμεν ουτι μαλα χρεῖ.
Ϝοισθα γαρ ευ περι τερμα ϝελισσεμεν· αλλα τοι ἱπποι
Βαρδιστοι θεεμεν, τῳ τ' οιω λοιγι' εσεσθαι· 310
Των δ' ἱπποι μεν εασιν αφαρτεροι, ουδε μεν αυτοι
Πλειονα ϝισασιν σεθεν αυτου μητισασθαι.
Αλλ' αγε δη συ, πεπον, μητιν εμβαλλεο θυμῳ
Παντοιην, ἱνα μη σε παρεκπροφυγησιν αεθλα.
Μητιῖ τοι δρυτομος ϝμεγ' αμεινων, ηε βιηθι· 315
Μητιῖ δ' αυτε κυβερνητης ενι ϝοινοπι ποντῳ
Νηα θοην ιθυνει ερεχθομενην ανεμοισι·
Μητιῖ δ' ἡνιοχος περιγινεται ἡνιοχοιο.
Αλλ' ὁς μεν θ' ἱπποισι και ἁρμασι ϝοισι πεποιθως,
Αφραδεως επι πολλα ϝελισσεται ενθα και ενθα, 320
Ἱπποι δε πλανοωνται ανα δρομον, ουδε κατισχει·
Ὁς δε κε κερδεα ϝειδῃ, ελαυνων ἡσσονας ἱππους,
Αιει τερμ' ὁρων, στρεφει εγγυθεν, ουδε ϝε ληθει,
Ὁππως το πρωτον τανυσῃ βοεοισιν ἱμασιν·
Αλλ' εχει ασφαλεως, και τον προεχοντα δοκευει. 325
Σημα δε τοι ϝερεω μαλ' αριφραδες, ουδε σε λησει·

---

308. τῳ κεν. quare tum: Alii, τῳ και. χρεῖ. opus est. Vulgò, χρεω· E. 75.

309. περι τερμα ϝελισσεμεν. circa terminum vertere: Vulgò, περι τερμαθ' ἑλισσεμεν, et, επι πολλον ελισσεμεν, Ψ. 320; vide A. 317.

310. Βαρδιστοι θεεμεν. Tardissimi ad currendum, quare etiam opinor damnosa futura: Vulgò, θειειν· O. 264.

313. πεπον. care: Vulgò, φιλος· vide Δ. 189; et sic Ψ. 343.

315. Μητιῖ. "Non viribus, aut velocitatibus, aut celeritate corporum res magnæ geruntur, sed consilio." Cicero de Senectute. Vulgò, Μητι.

317. ερεχθομενην. jactatam: Iterum occurrit, Od. ε. 83, 157.

325. και τον προεχοντα δοκευει. et antecedentem observat: Vulgò, προεχοντα.

Ἑστηκε ξυλον αυον, ὁσον τ᾽ οργυι᾽, ὑπερ αιης,
Η δρυος, η πευκης, το μεν ου καταπυθεται ομβρῳ·
Λαε δε του ϝεκατερθεν ερηρεδαται δυο λευκω,
Εν ξυνοχῃσιν ὁδου· λειος δ᾽ ἱπποδρομος αμφις·
Η τευ σημα βροτοιο παλαι κατατεθνειωτος,
Η τογε νυσσα τετυκτο παρα προτερων ανθρωπων,
Και νυν τερματ᾽ εθηκε ποδαρκης διος Αχιλλευς·
Τῳ συ μαλ᾽ εγχριμψας, ελααν σχεδον ἁρμα και ἱππους·
Αυτος δε κλινθηναι εϋπλεκτῳ ενι διφρῳ,
Γηκ᾽ επ᾽ αριστερα τοιϊν· αϝαρ τον δεξιον ἱππον
Κενσαι ὁμοκλησας, ϝειξαι τε οἱ ἡνια χερσιν.
Εν νυσσῃ δε τοι ἱππος αριστερος εγχριμφθητω,
Ὡς κεν τοι πλημνη γε δοασσεται ακρον ἱκεσθαι
Κυκλου ποιητοιο· λιθου δ᾽ αλεασθαι επαυρειν,
Μη πως ἱππους τε τρωσῃς, κατα θ᾽ ἁρματα ϝαξῃς·
Χαρμα δε τοις αλλοισιν, ελεγχειη δε σοι αυτῳ
Εσσεται· αλλα, πεπον, ϝρονεων πεφυλαγμενος ειναι·
Ει γαρ κ᾽ εν νυσσῃ γε παρεξελασησθα διωκων,
Ουκ εσθ᾽, ὁς κε σ᾽ εϝλησι μεταλμενος, ουδε παρελθῃ·
Ουδ᾽ ει κεν μετοπισθεν Αρειονα διον ελαυνοι,
Αδρηστου ταχυν ἱππον, ὁς εκ Θεοφιν γενος ηεν,
Η τους Λαομεδοντος, οἱ ενθαδε γ᾽ ετραφεν εσθλοι.
Ὡς ϝειπων, Νεστωρ Νηληϊος αψ ενι χωρῃ
Εζετ᾽, επει ϝῳ παιδι ϝεκαστου πειρατ᾽ εϝειπε.

---

331. Η τευ. Aut alicujus: B. 225. Knightius tres versus damnat.

332. παρα προτερων. apud priores: Ita Bentleius; vulgò, επι προτερων.

346. Αρειονα διον. Hic Herculis equus erat. Hesiod. Scut. 120. Knightius tres versus damnat.

348. οἱ ενθαδε γ᾽ ετραφεν εσθλοι. qui hîc nutriti sunt boni: pro ετραφεν. Ita MSS. nonnulli; vulgò, τετραφεν· sed aoristus passivus reduplicationem non adsciscit. Vide E. 555, 172.

360. Φοινιχ᾽, ὁς οπαων πατρος ϝοιο. Phœnicem, qui comes patris sui. Vulgò, Φοινικα οπαονα, metro imperfecto. Potuit etiam, ὁμοτιμον, quem ut patrem suum honorabat, scripsisse; O. 186.

361. Ὡς μεμνεῳτο δρομου. Ut meminisset cursûs: a μεμνημαι. Forma non alibi occurrit; potuit, μνησαιτο, scripsisse.

363. Πεπληγον τ᾽ ἱμασι. Feriebantque loris: Vide E. 504, Γ. 371.

Μηριονης δ' αρα πεμπτος εϋτριχας ὥπλισαθ' ἵππους.
Αν δ' εβαν ες διφρους, εν δε κληρους εβαλοντο·
Παλλ' Αχιλευς, εκ δε κληρος θορε Νεστοριδαο
Αντιλοχου· μετα τονδ' ελαχε κρειων Ευμηλος·
Τῳ δ' αρ επ' Ατρεϊδης δουρικλειτος Μενελαος· 355
Τῳ δ' επι Μηριονης λαχ' ελαυνεμεν· ὑστατος αυτε
Τυδεϊδης, οχ' αριστος εων, λαχ' ελαυνεμεν ἵππους.
Σταν δε μεταστοιχει· σημηνε δε τερματ' Αχιλλευς,
Τηλοθεν εν λειῳ πεδιῳ· παρα δε σκοπον εἷσεν
Αντιθεον Φοινιχ', ὁς οπαων πατρος εφοιο, 360
Ὡς μεμνεῳτο δρομου, και αληθειην αποφειποι.
Οἱ δ' ἅμα παντες εφ' ἵπποισι φμαστιγας αειραν,
Πεπληγον τ' ιφμασιν, ὁμοκλησαν τε φεπεσσιν
Εφυμενως· οἱ δ' ωκα διεπρησσον πεδιοιο,
Νοσφι νεων, ταχεως· ὑπο δε στερνοισι κονιη 365
Ἱσταθ' αειρομενη, ὡς τε φνεφος, ηε θυελλα·
Χαιται δ' εφρωοντο μετα πνοιῃς ανεμοιο·
Ἅρματα δ' αλλοτε μεν χθονι πιλνατο πουλυβοτειρῃ,
Αλλοτε δ' αἰξασκε μετηορα· τοι δ' ελατηρες
Ἑστασαν εν διφροισι· πατασσε δε θυμος ἁπαντων 370
Νικης φιεμενων· κεκλοντο δε φοισι φεκαστος
Ἵπποις, οἱ δ' επετοντο κονιοντες πεδιοιο.
Αλλ' ὁτε δη πυματον τελεον δρομον ωκεες ἵπποι
Αψ εφ' ἁλος πολιης, τοτε δη αρετη γε φεκαστου

---

367. εφρωοντο. fortiter movebantur: A. 529.

368. Ἅρματα δ' αλλοτε μεν χθονι πιλνατο.

Nonne vides, cùm præcipiti certamine campum
Corripuere, ruuntque effusi carcere currus,
Cùm spes arrectæ juvenum, exultantiaque haurit
Corda pavor pulsans; illi instant verbere torto,
Et proni dant lora; volat vi fervidus axis.
Jamque humiles, jamque elati sublimè videntur
Aera per vacuum ferri, atque assurgere in auras.
Nec mora, nec requies; at fulvæ nimbus arenæ
Tollitur; humescunt spumis, flatuque sequentum.
Tantus amor laudum, tantæ est victoria curæ. Georg. iii. 103.

370. θυμος ἁπαντων. animus omnium: Vulgò, ἑκαστου· E. 470.

Ὅσσα δε δισκοφιν ουρα κατωμαδιοιο πελονται,
Ὃν τ' αιζηος αφηκεν ανηρ, πειρωμενος ἠβης,
Τοσσον επιδραμετην· αἱ δ' εφρωησαν οπισσω
Ατρεϊδεω· αυτος γαρ εχων μεθεηκεν ελαυνειν,
Μη πως συγκυρσειαν ὁδῳ ενι μωνυχες ἵπποι,
Διφρους τ' ανστρεψειαν εϋπλεκεας, κατα δ' αυτοι
Εν κονιηθι πεσοιεν, επειγομενοι περι νικης.
Τον και νεικειων προσεφη ξανθος Μενελαος·
Αντιλοχ', ουτις σειο βροτων ολοωτερος αλλος·
Γερρ', επει ου σ' ετυμον γε φαμεν πεπνυσθαι Αχαιοι.
Αλλ' ου μαν ουδ' ὡς ατερ ὁρκοφιν οισῃ αεθλον.
Ὡς ειπων, ἵπποισιν εκεκλετο, φωνησεν τε·
Μη μοι εφρυκεσθον, μηδ' ἑστατον αχνυμενω κῆρ·
Φθησονται τουτοισι ποδες και γουνα καμοντα,
Η ὑμιν· αμφω γαρ ατεμβονται νεοτητος.
Ὡς εφαθ'· οἱ δε, φανακτος ὑποδδεισαντες ὁμοκλην,
Μαλλον επιδραμετην, ταχα δε σφισιν αγχι γενοντο.
Αργειοι δ' εν αγωνι καθημενοι εισοροωντο
Ἵππους· τοι δε πετοντο κονιοντες πεδιοιο.
Πρωτος δ' Ιδομενευς, Κρητων αγος, εφρασαθ' ἵππους·
Ἥστο γαρ εκτος αγωνος ὑπερτατος εν περιωπῃ·
Τοιο δ' ανευθεν εοντος ὁμοκλητηρος ακουσας,
Εγνω· φρασσατο δ' ἵππον αριπρεπεα προεχοντα,
Ὃς το μεν αλλο τοσον φοινιξ ην, εν δε μετωπῳ
Λευκον σημ' ετετυκτο περιτροχον, ηϋτε μηνη.

---

431. Ὅσσα δε δισκοφιν ουρα. Quanti verò disci limites: Vulgò, δισκοφιν κατωμαδιοιο. qui ad humeros levatur, priusquam emittatur; o. 352.

433. εφρωησαν. recesserunt: ab εφρωεω. Vulgò, πρωησαν.

434. εχων. retinens: Ita, ειχεν, Ψ. 422, et, ανεχε, Ψ. 426. Vel, αυτος ἑεκων. Vulgò, αυτος γαρ ἑκων· quod in digamma peccat; γ. 66.

441. ατερ ὁρκοφιν. sine juramento: Vulgò, ὁρκου· β. 145.

444. Φθησονται καμοντα. Prævenient laborantia: id est, priùs deficient.

445. ατεμβονται νεοτητος. carent juventute: Λ. 704.

448. Αργειοι δ' εν αγωνι. Poeta hoc artificio lectorem in spectatorem vertit; ipsi certamini adesse videmur, et in victoriâ partem habere. Knightius versum 449 damnat.

Στη δ' ορθος, και μυθον εν Αργειοισιν εφειπεν·
Ω φιλοι, Αργειων ηγητορες, ηδε μεδοντες,
Οιος εγων ἱππους αυγαζομαι, ηε και ὑμεις;
Αλλοι μοι δοκεουσι παροιτεροι εμμεναι ἱπποι,
Αλλος δ' ηνιοχος ῥινδαλλεται· αἱ δε που αυτου
Εβλαβεν εν πεδιῳ, αἱ κεισε γε φερτεραι ησαν·
Ητοι γαρ τας πρωτα ῥιδον περι τερμα βαλουσας,
Νυν δ' ουπω δυναμαι ῥιδεειν, παντη δε μοι οσσε
Τρωϊκον αμπεδιον παπταινετον εισοροωντι·
Η ε τον ηνιοχον φυγον ηνια, ουδε δυνασθη
Ευ σχεθεειν περι τερμα, και ουκ ετυχησε ῥελιξας·
Ενθα μιν εκπεσεειν οϊῶ, συν θ' ἁρματα ῥαξαι·
Αἱ δ' εξερρωησαν, επει μενος εβλαβε θυμον.
Αλλα ῥιδεσθε και υμμες ανασταδον· ου γαρ εγωγε
Ευ διαγινωσκω· δοκεει δε μοι εμμεναι ανηρ
Αιτωλος γενεην, μετα δ' Αργειοισι ῥανασσει,
Τυδεος ἱπποδαμου υἱος, κρατερος Διομηδης.
Τον δ' αισχρως ενενισπεν Οϊληος ταχυς Αιας·
Ιδομενευ, τι παρος λαβρευεαι; αἱ δε τ' ανευθεν
Ἱπποι αερσιποδες πολεος πεδιοιο διενται·
Ουτε νεωτατος εσσι μετ' Αργειοισι τοσουτον,
Ουτε τοι οξυτατον κεφαλης εκδερκεται οσσε·
Αλλ' αιει μυθοις λαβρευεαι· ουδε τι σε χρη
Λαβραγορην εμεναι· παρα γαρ και αμεινονες αλλοι.
Ἱπποι δ' αυται εασι παροιτεραι, αἱ το παρος περ,

---

453. προεχοντα. præeuntem: Vulgò, προυχοντα· sed quinta sedes dactylum desiderat.
454. Ὁς το μεν αλλο τοσον. Qui cæteram quidem partem omnem: X. 322.
458. αυγαζομαι. conspicio: Verbum non alibi occurrit.
460. ῥινδαλλεται. videtur: P. 213.
468. εξερρωησαν. cesserunt e viâ, cùm rabies cepit animum: Ita X. 312, A. 103.
474. τι παρος λαβρευεαι. quid ante tempus garris: a λαβρος, B. 148.
475. διενται. sectantur: Hesych. Alii, διονται.
479. Λαβραγορην. Magniloquum: Knightius versum damnat.
480. Ἱπποι δ' αυται εασι. Equæ verò eædem sunt: Ita rectè Heynius cum MSS. nonnullis; vulgò, αυτε εασι.

Ευμηλου, εν δ' αυτος εχων ευληρα βεβηκε.
Τον δε χολωσαμενος Κρητων αγος αντιον ηυδα·
Αιαν, νεικει αριστε, κακοφραδες, αλλα τε παντα
Δευεαι Αργειων, ὁ σεθιν νοος εστιν απηνης·
Δευρο νυ, η τριποδος περιδωμεθον, ηε λεβητος· 485
Γιστορα δ' Ατρειδην Αγαμεμνονα θειομεν αμφω,
Ὁπποτεραι προσθ' ἱπποι· ἱνα γνοιης αποτινων.
Ὁς εφατ'· ωρνυτο δ' αυτικ' Οϊληος ταχυς Αιας,
Χωομενος, χαλεποισιν αμειψασθαι ϝεπεεσσι·
Και νυ κε δη προτερω ετ' ερις γενετ' αμφοτεροισιν, 490
Ει μη Αχιλλευς αυτος ανιστατο, και φατο μυθον·
Μηκετι νυν χαλεποισιν αμειβεσθον ϝεπεεσσιν,
Αιαν τ', Ιδομενευ τε, κακοις· επει ουδε ϝεοικε·
Και δ' αλλῳ νεμεσᾶτον, ὁ τις τοιαυτα γε ϝρεζοι·
Αλλ' ὑμεις εν αγωνι καθημενοι εισοραασθε 495
Ἱππους· οἱ δε ταχ' αυτοι επειγομενοι περι νικης
Ενθαδ' ελευσονται· τοτε δε γνωσεσθε ϝεκαστος
Ἱππους Αργειων, οἱ δευτεροι, οἱ τε παροιθεν.
Ὡς φατο· Τυδεϊδης δε μαλα σχεδον ηλθε διωκων,
Ϝμαστιϊ δ' αιεν ελαυνε κατωμαδον· οἱ δε ϝοι ἱπποι 500
Ὑψοσ' αειρεσθην, ϝριμφα πρησσοντε κελευθον·
Αιει δ' ηνιοχον κονιης ϝραθαμιγγες εβαλλον·
Ἁρματα δε, χρυσῳ πεπυκασμενα, κασσιτερῳ τε,
Ἱπποις ωκυποδεσσιν επετρεχον· ουδε τε πολλη
Γινετ' επισσωτρων ἁρματροχιη κατοπισθεν 505
Εν λεπτῃ κονιῃ· τω δε σπευδοντε πετεσθην·

---

481. ευληρα. habenas: Vox non alibi occurrit; vide z. 424.

484. ὁ σεθιν. quòd tibi: Vulgò, ὁτι τοι.

485. περιδωμεθον. pignoremus: Ita, εμεθεν περιδωσομαι αυτης, Od. ϕ. 78. Alii, περιδωμεθα· forsitan, περιδωσομεθ'. Vulgò etiam, νυν· sed nusquam alibi corripitur, et hiatus post υ licet; A. 393.

486. Γιστορα. Arbitrum: Σ. 501.

493. Αιαν τ', Ιδομενευ τε. Ita rectè Barnesius; vulgò, Αιαν, Ιδομενευ τ' N. 824. Utile exemplum dat poeta, quomodo litem componere oporteat. Knightius versum 494 damnat.

Στη δε μεσῳ εν αγωνι, πολυς δ' ανεκηκιεν ἱδρως
Ἱππων, εκ τε φλοφων και απο στερνοιο χαμαζε.
Αυτος δ' εκ διφροιο χαμαι θορε παμφανοωντος,
Κλινε δ' αρα φμαστιγα ποτι ζυγον· ουδε ματησεν
Ιφθιμος Σθενελος, αλλ' εφυμενως φλαβ' αεθλον·
Δωκε δ' αγειν ἑταιροισιν ὑπερθυμοισι γυναικα,
Και τριποδ' ουατοεντα φερειν· ὁ δ' ελυσεν ὑφ' ἱππους.
Τῳ δ' αρ επ' Αντιλοχος Νηληϊος ηλασεν ἱππους,
Κερδεσιν, ουτι ταχει γε παραφθαμενος Μενελαον·
Αλλα και ὡς Μενελαος εχ' εγγυθεν ωκεας ἱππους·
Ὁσσον δε τροχου ἱππος αφισταται, ὁς φα φανακτα
Ἑλκησιν πεδιοιο τιταινομενος συν οχεσσιν,
Του μεν τε ψαυουσιν επισσωτρου τριχες ακραι
Ουραιαι, ὁ δε τ' αγχι μαλα τρεχει, ουδε τι πολλη
Χωρη μεσσηγυς, πολεος πεδιοιο θεοντος·
Τοσσον δη Μενελαος αμυμονος Αντιλοχοιο
Λειπετ'· αφαρ τα πρωτ' ες δισκοφιν ουρα λελειπτο,
Αλλα μιν αιψα κιχανεν· οφελλετο γαρ μενος ηϋ
Ἱππου της Αγαμεμνονεης καλλιτριχος Αιθης·
Ει δε κ' ετι προτερω γενετο δρομος αμφοτεροισι,
Τῳ κεν μιν παρελασσ', ουδ' αμφηριστον εθηκεν.
Αυταρ Μηριονης, θεραπων εϋς Ιδομενηος,
Λειπετ' αγακλεος Μενελαου δουρος εφρωην.
Βαρδιστοι μεν γαρ οι εσαν καλλιτριχες ἱπποι,
Ηκιστος δ' ην αυτος ελαυνεμεν ἁρμ' εν αγωνι.
Υἱος δ' Αδμητοιο πανυστατος ηλυθεν αλλων,

---

500. Fμαστιῖ. Scuticâ: Hesychius, Μαστις, μαστιξ, et, Μαστιν, μαστιγα, habet. Ita, μαστικ, P. 622, T. 171. Vulgò, Μαστιγι. Barnesius, Μαστι, edidit, quod Suidas vocem præcisam pro μαστιγι esse censet.

510. ματησεν. neglexit: E. 233.

513. ὁ δ' ελυσεν ὑφ' ἱππους. ille verò solvit equos: Ita Barnesius: vulgò, ελυεν· sed λυω non alibi in Iliade producitur.

517. ὁς φα φανακτα. qui sanè regem: Ita Eustathius. Vulgò, ὁς φα τ' ανακτα.

523. ες δισκοφιν ουρα. ad disci limites: Ψ. 431. Vulgò, τα πρωτα και ες δισκουρα· quod jure Grammatici notârunt.

Ἑλκων ἁρματα καλα, και ἱππους προσθεν ελαυνων.
Τον δε ϝιδων ὠκτειρε ποδαρκης διος Αχιλλευς·
Στας δ' αρ εν Αργειοισι ϝεπεα πτεροεντ' αγορευε·
Λοισθος ανηρ ὁς αριστος ελαυνει μωνυχας ἱππους·
Αλλ' αγε δη ϝοι αεθλα τα δωμεν, ὡς επιϝεικες,
Δευτερ'· αϝαρ τα πρωτα φερεσθω Τυδεος υἱος.
Ὡς εφαθ'· οἱ δ' αρα παντες επηνεον, ὡς εκελευε·
Και νυ κε ϝοι πορεν ἱππον, επηνησαν γαρ Αχαιοι,
Ει μη αρ Αντιλοχος, ϝμεγαθυμου Νεστορος υἱος,
Πηλεϊδην Αχιλῆα δικῃ ημειψατ' αναστας·
Ω Αχιλευ, μαλα τοι κεχολωσομαι, αι κε τελεσσῃς
Τουτο ϝεπος· μελλεις γαρ αφαιρησεσθαι αεθλον,
Τα φρονεων, ὁ ϝεθιν βλαβεν ἁρματα και ταχε' ἱππω,
Αυτος τ' εσθλος εων· αλλ' ωφελεν αθανατοισιν
Ευχεσθαι· τοκεν ουτι πανυστατος ηλθε διωκων·
Ει δε μιν οικτειρεις, και τοι φιλον επλετο θυμῳ,
Εστι τοι εν κλισιῃ χρυσος πολυς, εστι δε χαλκος,
Και προβατ', εισι δε τοι δμωαι, και μωνυχες ἱπποι·
Των ϝοι επειτ' ανεϝλων δομεναι και ϝμειζον αεθλον,
Ηε και αυτικα νυν, ἱνα σ' αινησωσιν Αχαιοι.
Την δ' εγω ου δωσω· περι δ' αυτης πειρηθητω
Ανδρων, ὁς κ' εθελησιν εμοι χειρεσσι μαχεσθαι.
Ὡς φατο· ϝμειδησεν δε ποδαρκης διος Αχιλλευς,
Χαιρων Αντιλοχῳ, ὁ ϝεθιν φιλος ην ἑταϝρος·
Και μιν αμειβομενος ϝεπεα πτεροεντα προσηυδα·
Αντιλοχ', ει μεν δη με κελευεις ϝοικοθεν αλλο
Ευμηλῳ επιδουναι, εγω δε κε και το τελεσσω·

---

533. και ἱππους προσθεν ελαυνων. et equos ante agens: Vulgò, ελαυνω προσσοθεν ἱππους· critici monent προσσοθεν pro προσωθεν dici non posse; sed neque hæc forma est Homerica; hiatus etiam non licet. Heynius et Knightius versum damnant.

536. Λοισθος ανηρ ὁς αριστος. Ultimus vir qui optimus: Vulgò, αριστος· vide Λ. 288.

538. ϝοι αεθλα τα δωμεν. ei præmia hæc demus: Vulgò, οἱ δωμεν αεθλιον· sed δωω ita contrahi nequit, Α. 129, et Δευτερα et nomen plurale et articulum desiderat. Suspicor etiam αεθλιον vocem non sanam esse.

Δωσω σοι θωρηκα, τον Αστεροπαιον απεφρων,
Χαλκεον, ᾧ περι χευμα φαεινου κασσιτεροιο
Αμφιδεδινηται· πολεος δε σοι αξιος εσται.
Η ρα, και Αυτομεδοντι φιλῳ εκελευσεν ἑταιρῳ
Οισεμεναι κλισιηθεν· ὁ δ' ωχετο, και οι ενεικεν·
Ευμηλῳ δ' εν χερσι τιθει· ὁ δ' εδεξατο χαιρων.
Τοισι δε και Μενελαος ανιστατο, θυμον αχευων,
Αντιλοχῳ αμοτον κεχολωμενος· εν δ' αρα κηρυξ
Χερσι σκηπτρον εθηκε, σιωπησαι τ' εκελευσεν
Αργειους· ὁ δ' επειτα μετηυδα φισοθεος φως·
Αντιλοχε, προσθεν πεπνυμενε, ποιον εφρεξας;
Ησχυνας μεν εμην αρετην, βλαψας δε μοι ἱππους,
Τους σους προσθε βαλων, οἱ τοι πολυ χειρονες ησαν.
Αλλ' αγετ', Αργειων ἡγητορες ηδε μεδοντες,
Ες μεσον αμφοτεροισι δικασσατε, μηδ' επ' αρωγῃ·
Μη ποτε τις ειπησιν Αχαιων χαλκοχιτωνων,
Αντιλοχον ψευδεσσι βιησαμενος Μενελαος
Οιχεται ἱππον αγων, ὁ φεθιν πολυ χειρονες ησαν
Ἱπποι, αυτος δε κρεισσων αρετῃ τε, βιῃ τε.
Ει δ' αγ' εγων αυτος δικασω, και μ' ουτινα φημι
Αλλον επιπληξειν Δαναων· ιθεια γαρ εσται·
Αντιλοχ', ει δ' αγε δευρο, Διοτρεφες, ἡ θεμις εστι,
Στας ἱππων προπαροιθε και ἁρματος, αυταρ ιμασθλην
Χερσιν εχων φραδινην, ἡ περ το προσθεν ελαυνες,
Ἱππων ἁψαμενος, γαιηοχον Εννοσιγαιον
Ομνυθι, μη μεν εμον γε φεκων δολῳ ἁρμα πεδησαι.
Τον δ' αυτ' Αντιλοχος πεπνυμενος αντιον ηυδα·

---

545. ὁ φεθιν. quòd ei: Vulgò, ὁτι σοι, et ita Ψ. 556, 577. Vide A. 56, E. 270.

546. Αυτος τ' εσθλος εων. Cùm ipse bonus sis: is tamen culpâ suâ præmium perdidit, quod Deos orare neglexerit.

547. τοκεν tunc: Ita, ὁκεν, quando, A. 519. Hesychius hanc etiam formam habet, sed malè, διοκεν, explicat.

565. Ευμηλῳ. Versus a codicibus nonnullis abest.

583. φραδινην. tenuem: λεπτην, Hesychius.

585. μη μεν εμον γε φεκων δολῳ ἁρμα πεδησαι. haud quidem meum volens

Ανσχεο νυν, πολλον γαρ εγωγε νεωτερος ειμι
Σειο, ϝαναξ Μενελαε, συ δε προτερος και αρειων.
Ϝοισθ', οἷαι νεου ανδρος ὑπερβασιαι τελεθουσι·
Κραιπνοτερος μεν γαρ τε νοος, λεπτη δε τε μητις· 590
Τῳ τοι επιτλητω κραδιη· ἱππον δε τοι αυτος
Δωσω, την αρομην· ει και νυ κε ϝοικοθεν αλλο
Ϝμειζον απαιτησειας, αφαρ κε τοι αυτικα δουναι
Βουλοιμην, η σοιγε, Διοτρεφες, ηματα παντα
Εκ θυμου πεσεειν, και Δαιμοσιν ειναι αλιτρος. 595
Η ϝρα, και ἱππον αγων ϝμεγαθυμου Νεστορος υἱος
Εν χειρεσσι τιθει Μενελαου· τοιο δε θυμος
Ιανθη, ὡς ει τε περι σταχυεσσιν εερση
Ληϊου αλδησκοντος, ὁτε ϕρισσουσιν αρουραι·
Ὡς αρα σοι, Μενελαε, μετα ϕρεσι θυμος ιανθη· 600
Και μιν ϕωνησας ϝεπεα πτεροεντα προσηυδα·
Αντιλοχε, νυν μεν τοι εγων ὑποϝειξομαι αυτος,
Χωομενος· επει ουτι παρηορος, ουδ' αεσιϕρων,
Ησθα παρος· νυν αυτε νοον νικησε νεοιη.
Δευτερον αυτ' αλεασθαι αμεινονας ηπεροπευειν· 605
Ου γαρ κεν με ταχ' αλλος ανηρ παρεπεισεν Αχαιων.
Αλλα συ γαρ δη πολλ' επαθες, και πολλ' εμογησας,
Σος τε πατηρ αγαθος, και αδελϕεος, εἵνεκ' εμειο·
Τῳ τοι ϝλισσομενῳ επιπεισομαι, ηδε και ἱππον
Δωσω, εμην περ εουσαν· ἱνα γνωωσι και οἵδε, 610
Ὡς εμος ουποτε θυμος ὑπερϕιαλος και απηνης.
Η ϝρα, και Αντιλοχοιο Νοημονι δωκεν ἑταϝρῳ
Ἱππον αγειν· ὁ δ' επειτα λεβητ' εϝλε παμϕανοωντα.
Μηριονης δ' αναειρε δυο χρυσοιο ταλαντα

---

currum impediisse : Aut ϝεκων cum nominativo in ομνυθι concordat, aut ηθελες, subauditur ; T. 140. Ita, Μη μεν εγω κουρη Βρισηϊδι χειρ' επενεικαι, T. 261. Vulgò, μη μεν ἑκων το εμον δολῳ ἁρμα πεδησαι, quod et in digamma, et in metrum peccat.

598. ὡς ει τε περι σταχυεσσιν εερση. veluti circum aristas ros : Similitudo pulcherrima ; quæ enim rore ad Solem lucente lætior imago?

600. Ὡς. Malè Knightius versum damnat.

602. ὑποϝειξομαι αυτος. cedam ipse : Forsitan, αυτος ὑποϝειξω· vide Λ. 294.

604. νεοιη. juventus : νεοτης. Vox non alibi occurrit.

Τετρατος, ὡς ελασεν· πεμπτον δ' ὑπελειπετ' αεθλον,
Αμφιθετος φιαλην· την Νεστορι δωκεν Αχιλλευς,
Αργειων αν' αγωνα φερων, και εφατο παραστας·
Τη νυν και σοι τουτο, γερον, κειμηλιον εστω,
Πατροκλοιο ταφου μνημ' εμμεναι· ου γαρ ετ' αυτον
Οψε' εν Αργειοισι· δίδωμι δε τοι τοδ' αεθλον
Αυτως· ου γαρ πυξ γε μαχησεαι, ουδε παλαισεις,
Ουδε τ' ακοντιστυν ενδυσεαι, ουδε ποδεσσι
Θευσεαι· ηδη γαρ χαλεπον κατα γηρας επειγει.
Ως φατο, εν χερσι τιθει· ὁ δ' εδεξατο χαιρων,
Και μιν φωνησας φατο πτεροεντα προσηυδα·
Ναι δη ταυτα γε παντα, τεκος, κατα μοιραν εφατο.
Ου γαρ ετ' εμπεδα γυια, πεπον, ποδες, ουδε τε χειρες
Ωμων αμφοτερωθεν επαϊσσονται ελαφραι.
Ειθ' ὡς ἠβαοιμι, βιη τε μοι εμπεδος ειη,
Ως ὁποτε κρειοντ' Αμαρυγκεα θαπτον Επειοι
Βουπρασιῳ, παιδες δ' εθεσαν βασιληος αεθλα·
Ενθ' ουτις μοι ὁμοιος ανηρ γενετ', ουτ' αρ Επειων,
Ουτ' αυτων Πυλιων, ουτ' Αιτωλων μεγαθυμων.
Πυξ μεν ενικησα Κλυτομηδεα, Φηνοπος υἱον·
Αγκαιον δε παλη Πλευρωνιον, ὁς μοι ανεστη·
Φιφικλον δε ποδεσσι παρεδραμον, εσθλον εοντα·
Δουρι δ' ὑπειρεβαλον Φυλην τε, και Πολυδωρον.
Οιοισιν μ' ἱπποισι παρηλασαν Ακτοριωνε,
Πληθει προσθε βαλοντες, αγασσαμενοι περι νικης,
Οὑνεκα δη τα μεγιστα παρ' αυτοθι λειπετ' αεθλα.
Οἱ δ' αρ εσαν διδυμοι· ὁ μεν εμπεδον ἡνιοχευεν,
Εμπεδον ἡνιοχευεν, ὁ δε μαστιγι κελευεν.

---

605. Δευτερον. Postea: Ita MSS. Βέλτερον, Edd.

614. δυο χρυσοιο ταλαντα. Talenta hæc minora erant parvi ponderis; aurum etiam non nisi æs circiter decuplum valebat; z. 236.

618. Τη νυν και σοι τουτο. Hîc nunc et tibi hoc: Ξ. 219.

627. Ου γαρ ετ' εμπεδα γυια, πεπον, ποδες. Non enim jam firma membra, care, pedes: id est, pedes infirmi sunt; vide Ε. 122. Vulgò, φιλος· vide Δ. 189.

641. οἱ δ' αρ. Knightius duos versus damnat.

642. ὁ δε. ille verò: Vulgò, ἡνιοχευ'· ὁ δ' αρα.

Ὡς πστ᾽ εον· νυν αυτε νεωτεροι αντιοωντων
Ϝεργων τοιουτων· εμε δε χρη γηραϊ λυγρῳ
Πειθεσθαι, τοτε δ᾽ αυτε μετεπρεπον ἡρωεσσιν.
Αλλ᾽ ιθι, και σον ἑταϝρον αεθλοισι κτερεἰζε.
Τουτο δ᾽ εγω προφρων δεχομαι, χαιρει δε μοι ητορ,
Ὡς αιει μεμνησαι ενηεος, ουδε σε ληθω,
Τιμης, ἡς με ϝοικε τετιμησθαι μετ᾽ Αχαιοις.
Σοι δε Θεοι τωνδ᾽ αντι χαριν μενοϝεικεα δοιεν.
Ὡς φατο· Πηλεϊδης δε πολυν καθ᾽ ὁμιλον Αχαιων
Ωιχετ᾽, επει παντ᾽ αινον επεκλυε Νηλεϊδαο.
Αυταρ ὁ πυγμαχιης αλεγεινης θηκεν αεθλα·
Ἡμιονον ταλαϝεργον αγων κατεδησ᾽ εν αγωνι
Ἐξϝετε᾽, αδμητην, ἡ τ᾽ αλγιστη δαμασασθαι·
Τῳ δ᾽ αρα νικηθεντι τιθει δεπας αμφικυπελλον·
Στη δ᾽ ορθος, και μυθον εν Αργειοισιν εϝειπεν·
Ατρεϊδη τε, και αλλοι εϋκνημιδες Αχαιοι,
Ανδρε δυω περι τωνδε κελευομεν, ὡ περ αριστω,
Πυξ μαλ᾽ ανασχομενω πεπληγεμεν· ᾧ δε κ᾽ Απολλων
Δωῃ καμμονιην, γνωωσι δε παντες Αχαιοι,
Ἡμιονον ταλαϝεργον αγων κλισιηνδε νεεσθω·
Αυταρ ὁ νικηθεις δεπας οισεται αμφικυπελλον.
Ὡς εφατ᾽· ωρνυτο δ᾽ αυτικ᾽ ανηρ ηϋς τε μεγας τε,
Γειδως πυγμαχιης, υἱος Πανοπηος Επειος·
Ἁψατο δ᾽ ἡμιονου ταλαϝεργου, φωνησεν τε·
Ασσον ιτω, ὁστις δεπας οισεται αμφικυπελλον·
Ἡμιονον δ᾽ ου φημι τιν᾽ αξεμεν αλλον Αχαιων,
Πυγμῃ νικησαντ᾽· επει ευχομαι ειναι αριστος.
Ου ϝαλις, ὁϝρα μαχης επιδευομαι; ουδ᾽ αρα πως ην
Παντεσιν εν ϝεργοισι δαημονα φωτα γενεσθαι.

---

648. Ὡς αιεν. Ita semper: Vulgò, Ὡς μευ αει· sed μευ abundat, cum ad Τιμης referendum, et αει vox non est Homerica.

658. Ατρεϊδη τε. Agamemnonque: Ita MSS. et Ed. Pr. Ald. 2. Ατρεϊδαι, nullâ auctoritate induxit.

662. νεεσθω. redeat: Alii, ϕερεσθω.

670. Ου ϝαλις. Non satis: Vulgò, Η ουχ ἁλις· vide Ε. 349, N. 729.

671. Παντεσιν εν ϝεργοισι. Omnibus in operibus: Vulgò, Εν παντεσσ᾽ ἐργοις.

Ὧδε γαρ εκφερεω, το δε και τετελεσμενον εσται,
Αντικρυ χροα τε ῥηξω, συν τ' οστε' αραξω·
Κηδεμονες δε σοι ενθαδ' αολλεες αυθι μενοντων,
Οἱ κε μιν εξοισουσιν, εμης υπο χερσι δαμεντα.
Ὡς εφαθ'· οἱ δ' αρα παντες ακην εγενοντο σιωπῃ.
Ευρυαλος δε σοι οιος ανιστατο, ῥισοθεος φως,
Μηκιστηος υἱϊς, Ταλαϊονιδαο ϝανακτος,
Ὃς ποτε Θηβασδ' ηλθε, δεδουποτος Οιδιποδαο
Ες ταφον· ενθα δε παντας ενικα Καδμειωνας.
Τον μεν Τυδειδης δουρικλυτος αμφεπονειτο,
Θαρσυνων ϝεπεσι, ῥμεγα δ' αυτῳ βουλετο νικην.
Ζωμα δε σοι πρωτον παρακαββαλεν, αυταρ επειτα
Δωκεν ιμαντας εϋτμητους βοος αγραυλοιο.
Τω δε ζωσαμενω βητην ες μεσσον αγωνα.
Αντα δ' ανασχομενω χερσι στιβαρῃσιν ἀμ' αμφω
Συν ῥ' επεσον, συν δε σφι βαρειαι χειρες εμιχθεν·
Δεινος δε χρομαδος γενυων γενετ', ερρεε δ' ἱδρως
Παντοθεν εκ μελεων· επι δ' ωρνυτο θειος Επειος,
Κοψε δε παπτηναντα παρηϊον, ουδ' αρ ετι δην
Ἑστηκειν· αυτου γαρ ὑπηριπε φαιδιμα γυια.
Ὡς δ' ὁθ' ὑπο φρικος Βορεω αναπαλλεται ιχθυς
Θιν' επι φυκιοεντα, μελαν δε ϝε κυμα καλυψεν·
Ὡς πληγεις ανεπαλτ'· αυταρ ῥμεγαθυμος Επειος
Χερσι ῥλαβων ωρθωσε· φιλοι δ' αμφεσταν ἑταιροι,
Οἱ μιν αγον δι' αγωνος εφελκομενοισι ποδεσσιν,
Αἱμα παχυ πτυοντα, καρη βαλλονθ' ἑτερωσε·
Καδδ' αλλοφρονεοντα μετα σφισιν εἱσαν αγοντες·
Αυτοι δ' οιχομενοι κομισαν δεπας αμφικυπελλον.
Πηλειδης δ' αιψ' αλλα κατα τριτα θηκεν αεθλα,

---

678. Μηκιστηος υἱϊς. Mecistei filius: Vulgò, Μηκιστεος υἱος· B. 566.

679. δεδουποτος Οιδιποδαο. bello cæsi Œdipodis filii: Eteoclis nempe, cui Creon ludos funebres celebraret. Miror interpretes pro Œdipode ipso accepisse; is enim Athenis mortuus est, nec bello cecidit. Mecisteum, non Euryalum, Thebis, certâsse, Heynius censet.

688. χρομαδος. genarum percussarum strepitus: Vox semel dicta est.

Δεικνυμενος Δαναοισι, παλαισμοσυνης αλεγεινης·
Τῳ μεν νικησαντι, μεγαν τριποδ' εμπυριβητην·
Τον δε δυωδεκαβοιον ενι σφισι τιον Αχαιοι·
Ανδρι δε νικηθεντι γυναικ' ες μεσσον εθηκε·
Πολλα δ' επιστατο εργα· τιον δε ε τεσσαραβοιον.
Στη δ' ορθος, και μυθον εν Αργειοισιν εειπεν·
Ορνυσθ', οἱ και τουτου αεθλου πειρησεσθον.
Ὡς εφατ'· ωρτο δ' επειτα μεγας Τελαμωνιος Αιας·
Τῳ δ' Οδυσευς πολυμητις ανιστατο, κερδεα ειδως.
Ζωσαμενω δ' αρα τωγε βατην ες μεσσον αγωνα,
Αγκας δ' αλληλων βαβετην χερσι στιβαρῃσιν·
Ὡς δ' ὁτ' αμειβοντες, τους τε κλυτος ηραρε τεκτων,
Δωματος ὑψηλοιο, βιας ανεμων αλεεινων.
Τετριγει δ' αρα νωτα, θρασειαων απο χειρων
Ἑλκομενα στερεως, κατα δε ῥοτιος ῥεεν ἱδρως·
Πυκναι δε σμωδιγγες ανα πλευρας τε και ωμους
Αἱματι φοινηεσσαι ανεδραμον· οἱ δε μαλ' αιει
Νικης ἐεσθην, τριποδος περι ποιητοιο·
Ουτ' Οδυσευς δυνατο σφηλαι, ουδει τε πελασσαι,
Ουτ' Αιας δυνατο, κρατερη δ' εχε ῥις Οδυσηος.
Αλλ' ὁτε κ' ηνιαζον εϋκνημιδες Αχαιοι,
Δη τοτε μιν προσεφειπε μεγας Τελαμωνιος Αιας·
Διογενες Λαερτιαδη, πολυμηχαν' Οδυσσευ,
Η μ' αναειρ', η εγω σε· τα δ' αυ Διϊ παντα μελησει.
Ὡς ειπων, αναειρε· δολου δ' ου ληθετ' Οδυσσευς·
Κοψ' οπιθεν κωληπα τυχων, ὑπελυσε δε γυια·
Καδδ' εβαλ' εξοπισω· επι δε στηθεσσιν Οδυσσευς
Καππεσε· λαοι δ' αυ θηευντο τε, θαμβησαν τε.

---

712. αμειβοντες. tecti tigna: quæ in se invicem inclinantur.
713. Τετριγει. Stridebant: a τριζω.
716. σμωδιγγες. vibices: a σμωδιξ, B. 267. φοινηεσσαι. rubræ: Vulgò, φοινικοεσσαι· vide K. 133.
719. σφηλαι. supplantare: a σφαλλω, E. 567.
721. Αλλ' ὁτε κ' ηνιαζον. At quando ægrè ferebant: Vulgò, Αλλ' ὁτε δη ρ' ανιαζον· sed ανιαζω secundam producit; vide Σ. 300.
726. κωληπα. flexum poplitis; partem interiorem genu.

Δευτερος αυτ᾽ αναειρε πολυτλας διος Οδυσσευς,
Κινησεν δε ϝε τυτθον απο χθονος, ουδε ϝ᾽ αειρε·
Εν δε γονυ γναμψεν· επι δε χθονι καππεσον αμφω
Πλησιοι αλληλοισι, μιανθησαν δε κονιῃ.
Και νυ κε το τριτον αυτις αναϊξαντ᾽ επαλαιον,
Ει μη Αχιλλευς αυτος ανιστατο, και κατεϝρυκε·
Μηκετ᾽ ερειδεσθον, μηδε τριβεσθε κακοισι·
Νικη δ᾽ αμφοτεροισιν· αεθλα δε ϝισ᾽ ανεϝλοντες
Ερχεσθ᾽, ὁϝρα και αλλοι αεθλευωσιν Αχαιοι.
Ὡς εφαθ᾽· οἱ δ᾽ αρα του μαλα μεν κλυον, ηδ᾽ επιθοντο·
Και ϝρ᾽ απομορξαμενω κονιην, δυσαντο χιτωνας.
Πηλειδης δ᾽ αιψ᾽ αλλα τιθει ταχυτητος αεθλα,
Αργυρεον κρητηρα τετυγμενον· ἐξ δ᾽ αρα μετρα
Χανδανεν, αυταρ καλλει ενικα πασαν επ᾽ αιαν
Πολλον, επει Σιδονες πολυδαιδαλοι ευ ϝ᾽ ησκησαν,
Φοινικες δ᾽ αγον ανδρες επ᾽ ηεροϝειδεα ποντον,
Στησαν δ᾽ εν λιμενεσσι, Θοαντι δε δωρον εδωκαν·
Υἱος δε Πριαμοιο Λυκαονος ωνον εδωκε
Πατροκλῳ ἡρωϊ Ιησονιδης Ευνηος.
Και τον Αχιλλευς θηκεν αεθλον ϝου ἑταϝροιο,
Ὁστις ελαφροτατος ποσσι κραιπνοισι πελοιτο.
Δευτερῳ αυ βουν θηκε ϝμεγαν και πιονα δημῳ·
Ἡμιταλαντον δε χρυσου λοισθηϊ εθηκε.
Στη δ᾽ ορθος, και μυθον εν Αργειοισιν εϝειπεν·
Ορνυσθ᾽, οἱ και τουτου αεθλου πειρησεσθε.
Ὡς εφατ᾽· ωρνυτο δ᾽ αυτικ᾽ Οϊληος ταχυς Αιας,
Αν δ᾽ Οδυσευς πολυμητις, επειτα δε Νεστορος υἱος
Αντιλοχος· ὁ γαρ αυτε νεους ποσι παντας ενικα·

---

730. ϝε. eum: Vulgò, δ᾽ αρα, et, ουδε τ᾽.

735. ερειδεσθον. nitimini: Ita MSS. et N. 131, Π. 108. Edd. Vett. εριζεσθον.

736. αεθλα δε ϝισ᾽ ανεϝλοντες. præmia verò æqualia ferentes: Vulgò, αεθλια δ᾽ ισ᾽ ανελοντες, et αεθλιον, Ψ. 748.

745. Στησαν δ᾽ εν λιμενεσσι. Stabant verò in portubus: imperfectum ab ἱστημι. Heynius νια supplet, et Od. δ. 581 citat. Thoanti, Lemni regi, poculum dederunt, quòd diu ibi in portu stetissent.

751. λοισθηΐα. ultima: id est, præmia, ut Ψ. 785. Alii, λοισθεῖ.

Σταν δε μεταστοιχει· σημηνε δε τερματ' Αχιλλευς.
Τοισι δ' απο νυσσης τετατο δρομος· ωκα δ' επειτα
Εκφερ' Οϊλιαδης· επι δ' ωρνυτο διος Οδυσσευς
Αγχι μαλ', ως ὁτε τις τε γυναικος εϋζωνοιο
Στηθεος εστι κανων, ὁν τ' ευ μαλα χερσι τανυσσῃ,
Πηνιον εξελκουσα παρεκ μιτον, αγχοθι δ' ισχει
Στηθεος· ὡς Οδυσευς θεεν εγγυθεν· αυταρ οπισθεν
Ιχνια τυπτε ποδεσσι, παρος κονιν αμφιχυθηναι·
Καδδε ρεθιν κεφαλης χε' αϋτμενα διος Οδυσσευς,
Αιει ρριμφα θεων· ιαχον δ' επι παντες Αχαιοι
Νικης ριεμενῳ, μαλα δε σπευδοντι κελευον.
Αλλ' οτε δη πυματον τελεον δρομον, αυτικ' Οδυσσευς,
Ευχετ' Αθηναιῃ γλαυκωπιδι ρον κατα θυμον·
Κλυθι, Θεα, αγαθη μοι επιρροθος ελθε ποδοιϊν.
Ὡς εφατ' ευχομενος· του δ' εκλυε Παλλας Αθηνη·
Γυια δ' εθηκεν ελαφρα, ποδας και χειρας ὑπερθεν.
Αλλ' ὁτε δη ταχ' εμελλον επαϊξεσθαι αεθλον,
Ενθ' Αιας μεν ολισθε θεων, βλαψεν γαρ Αθηνη,
Τῃ ρα βοων κεχυτ' ονθος αποκταμενων εριμυκων,
Οὑς επι Πατροκλῳ πεφνεν ποδας ωκυς Αχιλλευς·
Εν δ' ονθου βοεου πλητο στομα τε, ρρινας τε.
Κρητηρ' αυτ' αναειρε πολυτλας διος Οδυσσευς,
Ὡς ηλθε φθαμενος· ὁ δε βουν ρελε φαιδιμος Αιας·
Στη δε κερας μετα χερσιν εχων βοος αγραυλοιο,
Ονθον αποπτυων, μετα δ' Αργειοισιν εφειπεν·

---

757. Σταν δε. Knightius versum damnat, quia antea legatur, Ψ. 358.

761. κανων. Virga: ea nempe, circa quam filum volvebatur. Hesych. Schol.

762. Πηνιον εξελκουσα παρεκ μιτον. Textile extrahens ad latus filum: a πηνος, tela.

772. Γυια. Knightius versum damnat, quia antea legatur, Ε. 122.

775. ονθος. stercus: Vox non alibi occurrit.

786. Ρμειδιοων. Knightius versus duodecim damnat.

787. Ρειδοσιν ειν ὑμιν. Gnaros inter vos: Ita Ψ. 786, Κ. 250, I. 524. Vulgò, Ειδοσιν υμμ' ερεω πασιν, φιλοι· sed ειν quasi postulatur, et υμμι elidi nequit; Κ. 551.

791. Ωμογεροντα. Crudum senem: id est, vivacem et alacrem.

Ω ποποι, η μ' εβλαψε Θεα ποδας, ἠ το παρος περ,
Μητηρ ὡς, Οδυσηϊ παρισταται, ηδ' επαρηγει.
Ὡς εφαθ'· οἱ δ' αρα παντες επ' αυτῳ ῃδυ γελασσαν.
Αντιλοχος δ' αρα δη λοισθηϊον εκφερ' αεθλον,
Γμειδιοων, και μυθον εν Αργειοισιν εφειπεν·
Γειδοσιν ειν ὑμιν γερεω, φιλοι, ὡς ετι και νυν
Αθανατοι τιμῶσι παλαιοτερους ανθρωπους·
Αιας μεν γαρ εμευ ολιγον προγενεστερος εστιν·
Οὑτος δε προτερης γενεης, προτερων τ' ανθρωπων,
Ωμογεροντα δε μιν φασ' εμμεναι· αργαλεον δε
Ποσσιν εριζεμεναι Δαναοις, ει μη Αχιλῆϊ.
Ὡς φατο· κυδηνεν δε ποδωκεα Πηλεϊωνα.
Τον δ' Αχιλευς μυθοισιν αμειβομενος προσεφειπεν·
Αντιλοχ', ου μεν τοι μελεος εῤῥησεται αινος,
Αλλα τοι ἡμιταλαντον εγω χρυσου επιθησω.
Ὡς ειπων, εν χερσι τιθει· ὁ δ' εδεξατο χαιρων.
Αυταρ Πηλεϊδης κατα μεν δολιχοσκιον εγχος
Θηκ' ες αγωνα φερων, κατα δ' ασπιδα, και τρυφαλειαν,
Τευχεα Σαρπηδοντος, ἁ μιν Πατροκλος απεῤῥα.
Στη δ' ορθος, και μυθον εν Αργειοισιν εφειπεν·
Ανδρε δυω περι τωνδε κελευομεν, ὡ περ αριστω,
Τευχεα ϝεσσαμενω, ταμεσιχροα χαλκον εφλοντε,
Αλληλων προπαροιθεν ὁμιλου πειρηθηναι·
Ὁπποτερος κε φθησιν ορεξαμενος χροα καλον,
Ψαυσῃ δ' ενδινων δια τ' εντεα και μελαν αἱμα,

---

792. Ποσσιν εριζεμεναι Δαναοις, ει μη Αχιλῆϊ. difficile verò Pedibus contendere Græcis, si non Achilli: Ita, ποσι δ' ουπως εστιν εριζειν, N. 325. Vulgò, Ποσσιν εριδηισασθαι Αχαιοις, ει μη Αχιλλει· sed εριδηισασθαι forma nihili est, et in metrum peccat, et Αχιλλει forma non est Homerica; A. 1.

795. μελεος εῤῥησεται αινος. vana dicetur laus: id est, non frustra. Εῤῥησομαι in quinque locis Odysseæ occurrit, sed non nisi, interrogabo, significat.

805. Ὁπποτερος κε φθησιν. Quicunque prior sit porrigens ad cutem pulchram: Non licebat igitur in hoc certamine hastam jacere.

806. Ψαυσῃ τ' ενδινων. Attigeritque intus membra perque arma et nigrum sanguinem: Ita interpretes; sed vox ενδινον non alibi occurrit, et versus a multis damnatur, et spurius videtur. Forsitan, ενδινων, intus torquens:

Τῳ μεν εγω δωσω τοδε φασγανον αργυροηλον,
Καλον, Θρηϊκιον, το μεν Αστεροπαιον απεφρων.
Τευχεα δ' αμφοτεροι ξυνηϊα ταυτα φερεσθων·
Και σφιν δαιτ' αγαθην παραθησομαι εν κλισιησιν.
Ὡς εφατ'· ωρτο δ' επειτα μεγας Τελαμωνιος Αιας·
Αν δ' αρα Τυδεϊδης ωρτο κρατερος Διομηδης.
Οἱ δ' επει ουν μεκατερθεν ὁμιλου θωρηχθησαν,
Ες μεσον αμφοτερω συνιτην μεμαωτε μαχεσθαι,
Δεινον δερκομενω· θαμβος δ' εχε παντας Αχαιους.
Αλλ' ὁτε δη σχεδον ησαν επ' αλληλοισιν ιοντες,
Τρις μεν επηϊξαν, τρις δε σχεδον ὡρμηθησαν·
Ενθ' Αιας μεν επειτα κατ' ασπιδα παντοσε μιην
Νυξ', ουδε χρο' ἱκανεν· ερυτο γαρ ενδοθι θωρηξ.
Τυδεϊδης δ' αρ επειτα φαεινου δουρος ακωκη
Αιεν επ' αυχενι κυρεν ὑπερ σακεος μεγαλοιο.
Και τοτε δη ρ' Αιαντι περιδδεισαντες Αχαιοι,
Παυσαμενους εκελευσαν αεθλ' ανα μισα δελεσθαι.
Αυταρ Τυδεϊδῃ δωκε μεγα φασγανον ἡρως,
Συν κολεῳ τε φερων, και εὐτμητῳ τελαμωνι.
Αυταρ Πηλεϊδης θηκεν σολον αυτοχοωνον,
Ὁν πριν μεν βριπτασκε μεγα σθενος Ηετιωνος·
Αλλ' ητοι τον επεφνε ποδαρκης διος Αχιλλευς,
Τον δ' αγετ' εν νηεσσι συν αλλοισι κτεατεσσι.
Στη δ' ορθος, και μυθον εν Αργειοισιν εειπεν·
Ορνυσθ', οἱ και τουτου αεθλου πειρησεσθε·
Ει σοι και μαλα πολλον αποπροθι πιονες αγροι,

---

820. Τυδεϊδης. Vulgò, Τυδεϊδης δ' αρ επειτα ὑπερ σακεος μεγαλοιο Αιεν επ αυχενι κυρε φαεινου δουρος ακωκη· verba ob metrum transposui.

823. αεθλ' ανα μισα δελεσθαι. præmia æqualia tollere: Vulgò, αεθλια ιε' ανελεσθαι· sed vox αεθλιον rarò occurrit.

824. Αυταρ. Knightius cum Aristophane duos versus damnat.

826. σολον αυτοχοωνον. discum fusum: id est, a fornace rudem, nec aliâ arte elaboratum. Hesych.

834. Χρωμενος. Utens: pro Χραομενος. Vulgò, Χρεωμενος.

840. γελασαν. riserunt: Epeus enim non nisi pugil erat; Ψ. 664.

843. Χειρος. Nonnulli versum damnant, ut ex Od. θ. 192 translatum.

Ἕξει μιν και πεντε περιπλομενους ενιαυτους
Χρωμενος· ου μεν γαρ οι ατεμβομενος γε σιδηρου
Ποιμην, ουδ' αροτηρ, εισ' ες πολιν, αλλα παρεξει.
Ὡς εφατ'· ωρτο δ' επειτα μενεπτολεμος Πολυποιτης,
Αν δε Λεοντηος κρατερον μενος αντιθεοιο,
Αν δ' Αιας Τελαμωνιαδης, και διος Επειος·
Ἐξειης δ' ἱσταντο· σολον δ' εβλε διος Επειος,
Ἧκε δε δινησας· γελασαν δ' επι παντες Αχαιοι.
Δευτερος αυτ' αφεηκε Λεοντευς, οζος Αρηος·
Το τριτον αυτ' εριψε μεγας Τελαμωνιος Αιας
Χειρος απο στιβαρης, και ὑπερβαλε σηματα παντα·
Αλλ' ὁτε δη σολον εβλε μενεπτολεμος Πολυποιτης,
Ὅσσον τις τ' εριψε καλαβροπα βουκολος ανηρ,
Ἥ τε βελισσομενη πετεται δια βους αγελαιας·
Τοσσον παντος αγωνος ὑπερβαλε· τοι δ' εβοησαν.
Ανσταντες δ' ἑταροι Πολυποιταο κρατεροιο
Νηας επι γλαφυρας εφερον βασιληος αεθλον.
Αυταρ ὁ τοξευτῃσι τιθει μιοεντα σιδηρον,
Καδδ' ετιθει δεκα μεν πελεκεας, δεκα δ' ἡμιπελεκκα·
Ἵστον δ' εστησεν νηος κυανοπρωροιο
Τηλου επι ψαμαθου· εκ δε τρηρωνα πελειαν
Λεπτῃ μηρινθῳ δησεν ποδος, ἡς αρ ανωγει
Τοξευειν· ὁς μεν κε βαλῃ τρηρωνα πελειαν,
Παντας αειραμενος πελεκεας, κλισιηνδε φερεσθω·
Ὅς δε κε μηρινθοιο τυχῃ, ορνιθος ἁμαρτων,
Ἥσσων γαρ δη κεινος, ὁ δ' οισεται ἡμιπελεκκα.

---

845. καλαβροπα. baculum pastoris: a χαλαω, et βροπαλον, quia uncum habeat ad oves retinendos. Vide H. 422.

846. Ἥ τε βελισσομενη. Quæ volvens: Vulgò, Ἥ δε θ' ἑλισσομενη. Forsitan etiam, Το βα βελισσομενον.

848. Πολυποιταο κρατεροιο. Polypœti fortis: Genitivus in αο non alibi nisi in voce πυλαρταο in thesi producitur; vide Θ. 367.

850. μιοεντα. nigrum: a μιον, viola, E. 36.

854. Λεπτῃ μηρινθῳ. Tenui funiculo: Vox non nisi in hoc loco occurrit.

Ὡς εφατ'· ωρτο δ' επειτα βιη Τευκροιο ϝανακτος,
Αν δ' αρα Μηριονης, θεραπων εϋς Ιδομενηος·
Κληρους δ' εν κυνεῃ χαλκηρεϊ παλλον εφλοντες.
Τευκρος δε πρωτος κληρῳ λαχεν· αυτικα δ' ιον
Ἧκεν επικρατεως, ουδ' ηπειλησε ϝανακτι
Ϝαρνων πρωτογονων ϝρεξειν κλειτην ἑκατομβην.
Ορνιθος μεν ἁμαρτε, μεγηρε δε ϝοι τογ' Απολλων,
Αυταρ ὁ μηρινθον βαλε παρ ποδα, τῃ δεδετ' ορνις·
Αντικρυ δ' απο μηρινθον ταμε πικρος οϊστος·
Ἡ μεν επειτ' ηϊξε προς ουρανον, ἡ δε παρειθη
Μηρινθος προτι γαιαν· αϝαρ κελαδησαν Αχαιοι.
Σπερχομενος δ' αρα Μηριονης εξεϝρυσε χειρος
Τοξον, αϝαρ δῃ οϊστον εχεν παλαι, ὡς ιθυνεν.
Αυτικα δ' ηπειλησεν ἑκηβολῳ Απολλωνι
Ϝαρνων πρωτογονων ϝρεξειν κλειτην ἑκατομβην·
Ὑψι δ' ὑπο ϝνεφεων εϝιδε τρηρωνα πελειαν,
Την ϝρ' ὁγε δινευουσαν ὑπο πτερυγος βαλε μεσσην·
Αντικρυ δε διηλθε βελος· το μεν αψ επι γαιῃ
Προσθεν Μηριοναο παγη ποδος· αυταρ ἡ ορνις
Ἱστῳ εφεζομενη νηος κυανοπρωροιο,
Αυχεν' απεκρεμασεν, συν δε πτερα πυκνα λιασθεν·
Ωκυς δ' εκ μελεων θυμος πτατο, τηλε δ' απ' αυτου
Καππεσε· λαοι δ' αυ θηευντο τε, θαμβησαν τε.
Αν δ' αρα Μηριονης πελεκεας δεκα παντας αειρε,
Τευκρος δ' ἡμιπελεκκα φερεν κοιλας επι νηας.
Αυταρ Πηλειδης κατα μεν δολιχοσκιον εγχος,
Καδδε λεβητ' απυρον, βοος αξιον, ανθεμοεντα,

---

865. μεγηρε δε ϝοι τογ' Απολλων. invidit verò ei hoc Apollo: Vulgo, μεγηρε γαρ οἱ.

868. παρειθη. dimittebatur: a παριημι. Forma non alibi occurrit.

870. εξεϝρυσε χειρος Τοξον. extraxit e manu Arcum: Interpretes de Teucri manu accipiunt, ut uterque eodem arcu utantur. Forsitan, χηλου, ex arcâ, legendum; ita Pandarus εσυλα τοξον, Δ. 105. ὡς ιθυνεν. ut direxit: id est, quâm primùm Teucer emiserat.

885. ανθεμοεντα. floribus ornatum: id est, qui flores in superficie fusos habebat.

Θηκ᾽ ες αγωνα φερων· και ῥ᾽ ἡμονες ανδρες ανεσταν·
Αν μεν αρ Ατρεϊδης ευρυκρειων Αγαμεμνων,
Αν δ᾽ αρα Μηριονης, θεραπων εϋς Ιδομενηος.
Τοισι δε και μετεφειπε ποδαρκης διος Αχιλλευς·
Ατρεϊδη, ϝιδμεν γαρ, ὁσον προβεβηκας ἁπαντων, 890
Ηδ᾽ ὁσσον δυναμει τε και ἡμασιν επλευ αριστος·
Αλλα συ μεν τοδ᾽ αεθλον εχων, κοιλας επι νηας
Ερχευ, αϝαρ δορυ Μηριονῃ ἡρωϊ πορωμεν,
Ει συγε σῳ θυμῳ εθελοις· κελομαι γαρ εγωγε.
Ὡς εφατ᾽· ουδ᾽ απιθησε ϝαναξ ανδρων Αγαμεμνων.
Δωκε δε Μηριονῃ δορυ χαλκεον· αυταρ ὁγ᾽ ἡρως
Ταλθυβιῳ κηρυκι διδου περικαλλες αεθλον.

---

886. ἡμονες. jaculatores : ab ἰημι.
890. Ατρεϊδη. Optimè Achilles Agamemnoni sine repulsæ periculo honorem tribuit.



ὈΜΗΡΟΥ ΓΙΛΙΑΣ.

Ω.

ARGUMENTA.

Ἕκτορος ταφος.
Ω, Πριαμος Αχιλλῆ φερ' Ἕκτορος αγλα' απουρα.

1. ACHILLES Patroclum luget, et Hectoris corpus dedecorat.—23. Di miserati de ejus redemptione consulunt.—104. Jupiter Thetidem ad Achillem mittit, et Hectorem solvere jubet.—144. Jupiter Iridem ad Priamum mittit, et Hectorem redimere hortatur.—200. Hecuba profectioni ejus adversatur.—248. Priamus filios objurgat.—265. Currum et dona instruunt.—283. Hecuba Priamum signum poscere hortatur.—215. Jupiter aquilam mittit.—322. Priamus cum Idæo urbe exit.—331. Jupiter ei Mercurium mittit.—362. Mercurius eum alloquitur, et in Achillis tentorium ducit.—486. Priamus Achilli supplicat.—518. Achilles miseratus ei Hectorem reddit, et cœnatum cubare facit.—677. Mercurius Priamum ad urbem reducit.—699. Cassandrâ monente, populus ei obvius venit.—723. Andromache, Hecuba, et Helena Hectorem lugent.—777. Priamus rogum parare jubet.—787. Corpus crematur.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

Ω.

Λυντο δ' αγων, λαοι δε θοας επι νηας απαντες
Εσκιδναντ' ιεναι· τοι μεν δορποιο μεδοντο,
Υπνου τε γλυκερου ταρπημεναι· αυταρ Αχιλλευς
Κλαιε, φιλου εταιρου μεμνημενος, ουδε μιν υπνος
Ηιρει πανδαματωρ, αλλ' εστρεφετ' ενθα και ενθα,
Πατροκλου ποθεων ανδροτητα τε και μενος ηϋ·
Ηδ' οποσα τολυπευσε συν αυτῳ, και παθεν αλγεα,
Ανδρων τε πτολεμους, αλεγεινα τε κυματα πειρων·
Των μιμνησκομενος, θαλερον κατα δακρυον ειβεν,
Αλλοτ' επι πλευρας κατακειμενος, αλλοτε δ' αυτε
Υπτιος, αλλοτε δε πρηνης· τοτε δ' ορθος αναστας
Δινευεσκ' αλυων παρα θιν' αλος· ουδε μιν Ηως
Φαινομενη ληθεσκεν υπερ αλα τ' ηϊονας τε·
Αλλ' ογ', επει ζευξειεν υφ' αρμασιν ωκεας ιππους,
Εκτορα δ' ελκεσθαι δησασκετο διφρου οπισθεν·
Τρις δ' ερυσας περι σημα Μενοιτιαδαο θανοντος,
Αυτις ενι κλισιη παυεσκετο· τονδε δ' εασκεν
Εν κονιη τανυσας προπρηνεα· τοιο δ' Απολλων
Πασαν αρεικειην απεχε χροος, ανδρ' ελεαιρων

---

1. Λυντο δ' αγων. Solvebatur verò concio: Ita, Ὡς φασαν ἡ πληθυς, B. 278. Eustathius πληθος et αγορα explicat, et Hesychius αθροισμα, et ita, θειος αγων, H. 298, et, νεων αγων, O. 428. Vulgò, Λυτο δ' αγων, contra metrum. Vulgò etiam, ἑκαστοι· vide E. 470.

6. ανδροτητα. fortitudinem: Π. 857. Knightius quatuor versus damnat.

7. τολοπευσε. toleraverat: Ξ. 86.

8. κυματα πειρων. undas findens: Ita A. 465, Π. 405.

18. Εν κονιη τανυσας. In pulvere tendens: Ita MSS. duo, Ernestio probante. Vulgò, Εν κονι εκτανυσας. Forsitan etiam, Εκτανυσας κονιηθι.

19. απεχε χροος, ανδρ' ελεαιρων. abstinuit a cute, hominem miserans: Ita Hesychius, ut postulat grammatica; vulgò, απεχε χροϊ, φωτ' ελεαιρων.

Και τεθνειοτα περ· περι δ' Αιγιδι παντα καλυπτε
Χρυσειη, ἱνα μη μιν αποδρυφοι ἑλκυσταζων.
Ὡς ὁ μεν Εκτορα διον αρειικιζεν μενεαινων.
Τον δ' ελεαιρεσκον μακαρες Θεοι εισοροωντες,
Κλεψαι δ' ωτρυνεσκον εϋσκοπον Αργειφοντην.
Ενθ' αλλοις μεν πασιν εφανδανεν, ουδε ποθ' Ἡρη,
Ουδε Ποσειδαωνιν, ιδε Γλαυκωπιδι κουρη·
Αλλ' εχον, ὡς σφιν πρωτον απηχθετο Ϝιλιος ἱρη,
Και Πριαμος, και λαος, Αλεξανδρου ἑνεκ' αρχης·
Ὃς νεικεσσε Θεας, ὁτε οἱ μεσσαυλον ἱκοντο,
Την δ' ᾐνησ', ἡ οἱ πορε μαχλοσυνην αλεγεινην.
Αλλ' ὁτε δη ῥ' εκ τοιο δυωδεκατη γενετ' Ηως,
Και τοτ' αρ αθανατοισι μετηυδα Φοιβος Απολλων·
Σχετλιοι εστε, Θεοι, δηλημονες· ου νυ ποθ' ὑμιν
Ἑκτωρ μηρι' εκηε βοων αιγων τε τελειων;
Τον νυν ουκ ετλητε, νεκυν περ εοντα, σαωσαι,
Ϝη τ' αλοχῳ ϝιδεειν, και μητερι, και τεκεϊ ϝῳ,
Και πατερι Πριαμῳ, λαοισι τε· τοι κε μιν ωκα
Εν πυρι κηαιεν, και επι κτερεα κτερισειαν·
Αλλ' ολοῳ Αχιληϊ, Θεοι, βουλεσθ' επαρηγειν,
Ὧι ουτ' αρ φρενες εισιν εναισιμοι, ουτε νοημα
Γναμπτον ενι στηθεσσι· λεων δ' ὡς, αγρια ϝοιδεν,
Ὃς τε ϝρα, ϝμεγαλῃ τε βιῃ και αγηνορι θυμῳ
Ϝειξας, εισ' επι μηλα βροτων, ἱνα δαιτα ϝλαβησιν·

---

20. Και τεθνειοτα περ. Versus duo ab antiquis damnabantur, et, [illegible] servato, alii deinde octo.

26. Ουδε Ποσειδαωνιν, ιδε Γλαυκωπιδι κουρη. Neque Neptuno, et Minerv[illegible] Ita A. 603, 604. Vulgò, Ποσειδαων', ουδε· sed Cod. Harl. Ποσειδαωνι [illegible] bet, et dativus in ι rarò eliditur; Δ. 259, Α. 578.

28. Αλεξανδρου ἑνεκ' αρχης. Paridis ob inceptum: Vulgò, ατης· [illegible] z. 356.

29. Ὃς νεικεσσε Θεας. Qui objurgavit Deas: Nihil Homerus de jud[illegible] Paridis memorat. Forsitan fabula quædam erat de electione inter imp[illegible] rium, virtutem, et amorem.

30. μαχλοσυνην. incontinentiam: Vox non alibi occurrit. Alii, te[illegible] Eustathio, ἡ οἱ κεχαρισμενα δωρ' ονομηνεν.

42. Ὃς τε ϝρα. Qui sanè: Vulgò, Ὃς τ' επει αρ· Bentleius, ειξασκ', [illegible] posuit; mallem, Ϝειξεν, ορουσ'.

ιλευς ελεον μεν απωλεσεν, ουδε ϝοι αιδως
ἡ τ' ανδρας ϝμεγα σινεται, ηδ' ονινησι.
γαρ που τις και φιλτερον αλλον ολεσσαι,
γνητον ὁμογαστριον, ηε και υἱον·
οι κλαυσας και οδυρομενος μεθεηκε·
γαρ ϝμοιραι θυμον θεσαν ανθρωποισιν.
γ' Ἑκτορα διον, επει φιλον ητορ απεϝρα,
εξαπτων, περι σημ' ἑταϝροιο φιλοιο
ου μην ϝοι τογε καλλιον, ουδε τ' αμεινον.
αθῳ περ εοντι, νεμεσσηθειομεν ἡμεις·
γαρ δη γαιαν αϝεικιζει μενεαινων.
δε χολωσαμενη προσεφη λευκωλενος Ἡρη·
και τουτο τεον ϝεπος, Αργυροτοξε,
ιην Αχιληϊ και Ἑκτορι θησετε τιμην.
μεν θνητος τε, γυναικα τε θησατο μαζον·
Αχιλλευς εστι Θεας γονος, ἡν εγω αυτη
ηδ' ατιτηλα, και ανδρι πορον παρακοιτιν
ὁς περι κῆρι φιλος γενετ' αθανατοισι·
δ' αντιαασθε, Θεοι, γαμου· εν δε συ τοισι
εχων Φορμιγγα, κακων ἑταϝρ', αιεν απιστε.
δ' απαμειβομενος προσεφη ϝνεφεληγερετα Ζευς·
η δη παμπαν αποσκυδμαινε Θεοισιν.
γαρ τιμη γε μι' εσσεται· αλλα και Ἑκτωρ
ος εσκε Θεοισι βροτων, οἱ Ϝιλιῳ εισιν·

α σινεται, ηδ' ονινησι. valdè lædit, et juvat: Verba, σινομαι, et alibi in Homero occurrunt. Versus igitur a multis damnatur, videtur.

εει. Trahit: Ita, Ἑλκεσν, P. 395. Vulgò, Ἑλκει· sed diphthongus em rarò in thesi producitur.

σσηθειομεν ἡμεις. succenseamus nos: Ita, τραπειομεν, Γ. 441, . 62, et similia. Vulgò, νεμεσσηθωμεν οἱ ἡμεις· Aristarchus, ιεν. Heynius, νεμεσσωθωμεν αν ἡμεις· sed nec forma hæc subjunc- rica est, nec αν post μη, aut ἱνα invenitur.

τε. imponetis: id est, vos, qui partes Trojanas sequimini.

ψ', ηδ' ατιτηλα. Nutrivi, et gestavi: Vulgò, Θρεψα τε, και ατιτηλα· ὸ ante vocalem producitur; A. 79.

τκυδμαινε. irascere: Ω. 592; a σκυζομαι, Δ. 23.

ιλιῳ εισιν. qui in Trojâ sunt: Vulgò, οἱ εν Ιλιῳ εισιν· sed εν sæpe . Forsitan etiam, οἱ Ϝιλεθεν εισιν, qui ab Ilo rege nascuntur.

Ὡς γαρ εμοιγ' επει ουτι φιλων ἡμαρτανε δωρων.
Ου γαρ μοι ποτε βωμος εδευετο δαιτος ειϊσης,
Λοιβης τε, κνισσης τε· το γαρ λαχομεν γερας ἡμεις.
Αλλ' ητοι κλεψαι μεν εφασομεν, ουδε πη εστι
Λαθρη Αχιλληος, θρασυν Ἑκτορα· φοι γαρ ἡ αιει
Μητηρ παρμεμβλωκεν ὁμως νυκτας τε και ημαρ.
Αλλ' ει τις καλεσειε Θεων Θετιν ασσον εμειο,
Ὀφρα τι φοι ειπω πυκινον επος, ὡς κεν Αχιλλευς
Δωρων εκ Πριαμοιο λαχῃ, απο θ' Ἑκτορα λυσῃ.
Ὡς εφατ'· ωρτο δε Ϝιρις αελλοπος αγγελεουσα.
Μεσσηγυς δε Σαμου τε, και Ιμβρου παιπαλοεσσης,
Ενθορε μειλανι ποντῳ, επεστοναχησε δε λιμνη.
Ἡ δε, μολυβδαινῃ ϝικελη, ες βυσσον ορουσεν,
Ἡ τε κατ' αγραυλοιο βοος κερας εμβεβαυια,
Ερχεται ωμηστῃσιν επ' ιχθυσι, κηρα φερουσα·
Εὑρε δ' ενι σπεεϊ γλαφυρῳ Θετιν, αμφι δε ϝ' αλλαι
Εἰαθ' ὁμηγερεες ἁλιαι Θεαι· ἡ δ' ενι μεσσῃς
Κλαιε ϝμορον ϝου παιδος αμυμονος, ὁς οι εμελλε
Φθισεσθ' εν Τροϊῃ εριβωλακι, τηλοθι πατρης.
Αγχοθι δ' ἱσταμενη προσεφη ποδας ωκεα Ϝιρις·
Ορσο, Θετι, καλεει Ζευς αφθιτα μηδεα ϝειδως.
Την δ' ημειβετ' επειτα Θεα Θετις αργυροπεζα.
Τιπτε με κεινος ανωγε ϝμεγας Θεος; αιδεομαι δε

---

68. φιλων ἡμαρτανε δωρων. cara prætermittebat dona: Knightius loquelam hanc Homericam esse negat, et sex versus damnat.

71. Αλλ' ητοι κλεψαι μεν εφασομεν. Sed revera furari quidem omittemus: ita, εφα χολον, I. 260, et vide P. 13, Ω. 557, 568, 684. Antiqui tres versus damnabant. Bentleius, Αλλ' ουτοι κλεψαι μιν εασομεν, proposuit.

72. φοι γαρ ἡ αιει. ei enim illa semper: Vulgò, ἡ γαρ οἱ αιει, quod bis a metrum peccat. Malè Bentleius, δη γαρ αει φοι. Vide Φ. 877.

73. παρμεμβλωκε. circumit: Δ. 11.

79. Ενθορε μειλανι ποντῳ. Insiluit nigro mari: Ita, μελανει δε τε ποντος, H. 64, et, κρηνη μελανυδρος, I. 14. Prima producitur, ut in ἱερος, Α. 147. φοινοπι, usitatius esset.

80. μολυβδαινῃ ϝικελη. molybdænæ similis, Quæ per cornu bovis agrestis transiens, Venit crudivoros in pisces, fatum ferens: Videtur spiculi genus fuisse e cornu bovino factum, et plumbo gravatum, quo pisces trajiciebant, et funiculo alligato retrahebant.

Μισγεσθ' αθανατοισιν, εχῳ δ' αχε' ακριτα θυμῳ·
Ειμι μεν· ουδ' ἁλιον ϝεπος εσσεται, ὁ ϝρα κε ϝειπῃ.
Ὡς αρα φωνησασα, καλυμμ' εϝλε δῖα Θεαων
Κυανεον, του δ' ουτι μελαντερον επλετο ϝεσθος.
Βη δ' ιεναι, προσθεν δε ποδηνεμος ωκεα Ϝιρις 95
Ἠγειτ'· αμφι δ' αρα σφι λιαζετο κυμα θαλασσης·
Ακτην δ' εισαναβασαι, ες ουρανον αϊχθητην.
Εὑρον δ' ευρυοπα Κρονιδην, περι δ' αλλοι ἁπαντες
Εἰαθ' ὁμηγερεες μακαρες Θεοι αιεν εοντες·
Ἡ δ' αρα παρ Διϊ πατρι καθεζετο, ϝειξε δ' Αθηνη. 100
Ἠρη δε χρυσεον καλον δεπας εν χερι θηκε,
Και ῥ' ευφρηνε ϝεπεσσι· Θετις δ' ωρεξε πιουσα.
Τοισι δε μυθων ηρχε πατηρ ανδρων τε Θεων τε·
Ηλυθες Ουλυμπονδε, Θεα Θετι, κηδομενη περ,
Πενθος αλαστον εχουσα μετα φρεσι· ϝοιδα και αυτος·
Αλλα και ὡς ϝερεω, του σ' εἵνεκα δευρο καλεσσα. 106
Εννημαρ δη νεικος εν αθανατοισιν ορωρεν
Εκτορος αμφι νεκυν, και Αχιλληα πτολιπορθον·
Κλεψαι δ' ωτρυνεσκον εϋσκοπον Αργειφοντην·
Αυταρ εγω τοδε κυδος Αχιλληϊ προϊαπτω, 110
Αιδοα και φιλοτητα τεην μετοπισθε φυλασσων.
Αιψα μαλ' ες στρατον ελθε, και υἱϊ σῳ επιτειλον·
Σκυζεσθαι ϝοι ϝειπε Θεους, εμε δ' εξοχα παντων

Ὡς δ' ὁτ' επι προβολῳ ἁλιευς περιμηκεϊ ϝραβδῳ,
Ιχθυσι τοις ολιγοισι κατα δολον ειδατα βαλλῳ,
Ες ποντον προϊῃσι βοος κερας αγραυλοιο,
Ασπαιροντα δ' επειτα ϝλαβων εϝριψε θυραζε. Od. μ. 251.

83. αμφι δε ῥ' αλλαι. circa verò eam aliæ: Vulgò, αμφι δε τ' αλλαι.

92. ὁ ϝρα κε ϝειπῃ. quod sanè tum dicat: Vulgò, ὁ, ττι κεν ειπῃ· A. 294. Ed. Pr. et MSS. ειπῃ, habent.

102. Και ῥ' ευφρηνε ϝεπεσσι. Et eam lætificavit verbis: Vulgò, Και ῥ' ευφρην' επεεσσι.

107. Εννημαρ. Knightius quinque versus damnat.

108. αμφι νεκυν. Hectoris de corpore, et Achille: Vulgò, αμφι νεκυϊ, και Αχιλληϊ πτολιπορθῳ· vide Π. 526.

110. προϊαπτω. immitto: A. 3. Alii, προτιαπτω pro προσαπτω· verbum tamen non alibi occurrit, nec προτι ante vocalem.

Αθανατων κεχολωσθαι, ὁτε φρεσι μαινομενῃσιν
Ἕκτορ' εχει παρα νηυσι κορωνισιν, ουδ' απελυσεν· 115
Αι κεν πως εμε τε δειση, απο θ' Ἕκτορα λυσῃ.
Αυταρ εγω Πριαμῳ ϝμεγαλητορι Ϝιριν εφησω,
Λυσασθαι φιλον υἱον, ιοντ' επι νηας Αχαιων,
Δωρα δ' Αχιλληϊ φερεμεν, τα κε θυμον ιηνῃ.
Ὡς εφατ'· ουδ' απιθησε Θεα Θετις αργυροπεζα,
Βη δε κατ' Ουλυμποιο καρηνων αἰξασα. 121
Ἰξεν δε κλισιην εϝου ὑϊος, εν δ' αρα τονγε
Εὑρ' αδινα στεναχοντα· φιλοι δ' αμφ' αυτον ἑταϝροι
Εϝσυμενως επενοντο, και εντυνοντο ϝαριστον·
Ῥοισι δ' οἷς λασιος ϝμεγας εν κλισιῃ ἱερευτο. 125
Ἡ δε μαλ' αγχ' αυτοιο καθεζετο ποτνια μητηρ,
Χειρι τε μιν κατεϝρεξε, ϝεπος τ' εφατ', εκ τ' ονομαζε·
Τεκνον εμον, τεο μεχρις οδυρομενος και αχευων,
Σην εδεαι κραδιην, μεμνημενος ουδε τι σιτου,
Ουτ' ευνης; αγαθον δε γυναικι περ εν φιλοτητι 130
Μισγεσθ'· ου γαρ μοι δηρον βεῃ, αλλα τοι ηδη
Αγχι παρεστηκεν θανατος και ϝμοιρα κραταιη.
Αλλ' εμεφιν ξυνες ωκα, Διος δε τοι αγγελος ειμι·
Σκυζεσθαι σοι φησι Θεους, εϝε δ' εξοχα παντων
Αθανατων κεχολωσθαι, ὁτε φρεσι μαινομενῃσιν 135
Ἕκτορ' εχεις παρα νηυσι κορωνισιν, ουδ' απελυσας.
Αλλ' αγε δη λυσον, νεκροιο δε δεξαι αποινα.
Την δ' απαμειβομενος προσεφη ποδας ωκυς Αχιλλευς·
Τῃδ' ειη, ὁς αποινα φεροι, και νεκρον αγοιτο,
Ει δη προφρονι θυμῳ Ολυμπιος αυτος ανωγει. 140

---

116. εμε τε δειση. meque timeat: δρειση fuisse opinor; A. 33.

122. Ἰξεν δε κλισιην εϝου ὑϊος. Venit verò ad tentorium sui filii: Vulgò Ἰξεν δ' ες κλισιην οὐ υἱεος· sed verbum ἱκω rarò præpositionem ες adjungit; contrà verba ερχομαι, ειμι, et νεομαι rarò omittunt. Vide etiam B. 145, 666.

124. και εντυνοντο ϝαριστον. et parabant jentaculum: Ita Od. π. 2. Locum digamma postulat. Apud recentiores αριστον primam producit, unde Clarkius, και εντυνοντ' αριστον, quod minimè numerosum. Forsitan, αϝριστον.

131. βεῃ. vives: Z. 113, o. 194.

134. εϝε. ipsum: Ξ. 162. ὁτε. quòd: Vulgò, ὁτι· A. 244.

152. Μηδε τι. Knightius septem versus damnat, et septem iterum ad 181. Priamum enim Mercurium ei auxilio venturum non scivisse censet.

Ὡς οἱγ' εν νηων αγυρει μητηρ τε και υἱος
Πολλα προς αλληλους ϝεπεα πτεροεντ' αγορευον.
Ϝιριν δ' ωτρυνε Κρονιδης ες Ϝιλιον ἱρην·
Βασκ' ἰθι, Ϝιρι ταχεια, λιπουσ' ἑδος Ουλυμποιο,
Αγγειλον Πριαμῳ ϝμεγαλητορι, Ϝιλιον εισω,
Λυσασθαι φιλον υἱον, ιοντ' επι νηας Αχαιων·
Δωρα δ' Αχιλληϊ φερεμεν, τα κε θυμον ιηνῃ,
Οιον, μηδε τις αλλος ἁμα Τρωων ἰτω ανηρ.
Κηρυξ τις ϝοι ἑποιτο γεραιτερος, ὁς κ' ἰθυνοι
Ἡμιονους και αμαξαν εϋτροχον, ηδε και αυτις
Νεκρον αγοι προτι ϝαστυ, τον εκτανε δ̔ιος Αχιλλευς.
Μηδε τι ϝοι θανατος μελετω φρεσι, μηδε τι ταρβος·
Τοιον γαρ ϝοι πομπον οπασσομεν Αργειφοντην,
Ὅς ϝ' αξει, εἱος κεν αγων Αχιληϊ πελασσῃ.
Αυταρ επει κ' αγαγησιν εσω κλισιην Αχιληος,
Ουτ' αυτος κτενεει, απο τ' αλλους παντας ερυξει·
Ουτε γαρ εστ' αφρων, ουτ' ασκοπος, ουτ' αλιτημων·
Αλλα μαλ' ενδυκεως ἱκετεω πεφιδησεται ανδρος.
Ὡς εφατ'· ωρτο δε Ϝιρις αελλοπος αγγελεουσα·
Ἰξεν δε Πριαμοιο· κιχεν δ' ενοπην τε γοον τε.
Παιδες μεν πατερ' αμφι καθημενοι ενδοθιν αυλης,
Δακρυσι ϝειματ' εφυρον· ὁ δ' εν μεσσοισι γεραιος
Εντυπας εν χλαινῃ κεκαλυμμενος, αμφι δε πολλη
Κοπρος εεν κεφαλῃ τε και αυχενι τοιο γεροντος,
Την ϝρα κυλινδομενος καταϝμησατο χερσιν ερῃσι.
Θυγατερες δ' ανα δωματ', ιδε νυοι, ωδυροντο,
Των μιμνησκομεναι, οἱ δη πολεες τε και εσθλοι

---

154. Ὅς ϝ' αξει. Qui eum ducet: Ita, Ὅς σ' αξει, Ω. 183. Vulgò, Ὅς αξει.

160. Ἰξεν δε Πριαμοιο. Venit verò ad Priami domum: Vulgò, δ'ες· vide Ω. 122, 309, 338.

163. Εντυπας εν χλαινῃ κεκαλυμμενος. Formâ visâ in chlamyde coopertus: ὡς τε τον τυπον του σωματος φαινεσθαι· Hesych. ὡς τε μονον τον των μελων τυπον φαινεσθαι· Schol.

165. καταϝμησατο. demetebat: id est, ut messor, colligebat; ab αϝμαω, Γ. 359.

Χερσιν ὑπ' Αργειων κεατο ψυχας ολεσαντες.
Στη δε παρα Πριαμον Διος αγγελος, ηδε προσηυδα,
Τυτθον φθεγξαμενη, τον δε τρομος εἱλαβε γυια·
Θαρσει, Δαρδανιδη Πριαμε, φρεσι, μηδε τι ταρβει·
Ου μεν γαρ τοι εγω κακον οσσομενη τοδ' ἱκανω,
Αλλ' αγαθα φρονεουσα· Διος δε τοι αγγελος ειμι,
Ὅς σευ, ανευθεν εων, μεγα κηδεται, ηδ' ελεαιρει·
Λυσασθαι σ' εκελευσεν Ολυμπιος Ἑκτορα διον,
Δωρα δ' Αχιλληϊ φερεμεν, τα κε θυμον ιηνῃ,
Οιον, μηδε τις αλλος ἁμα Τρωων ιτω ανηρ.
Κηρυξ τις τοι ἑποιτο γεραιτερος, ὁς κ' ιθυνοι
Ἡμιονους και αμαξαν εϋτροχον, ηδε και αυτις
Νεκρον αγοι προτι ϝαστυ, τον εκτανε διος Αχιλλευς.
Μηδε τι τοι θανατος μελετω φρεσι, μηδε τι ταρβος·
Τοιος γαρ τοι πομπος ἁμ' ἑψεται Αργειφοντης,
Ὅς σ' αξει, εἱως κεν αγων Αχιλῆϊ πελασσῃ.
Αυταρ επει κ' αγαγησιν εσω κλισιην Αχιλῆος,
Ουτ' αυτος κτενεει, απο τ' αλλους παντας ερυξει·
Ουτε γαρ εστ' αφρων, ουτ' ασκοπος, ουτ' αλιτημων·
Αλλα μαλ' ενδυκεως ἱκετεω πεφιδησεται ανδρος.
Ἡ μεν αρ ὡς ϝειπουσ' απεβη ποδας ωκεα Ϝιρις.
Αυταρ ὁγ' υἱας αμαξαν εϋτροχον ἡμιονειην
Ὁπλισαι ηνωγει, πειρινθα δε δησαι επ' αυτης·
Αυτος δ' ες θαλαμον κατεβησατο κηωεντα,
Κεδρινον, ὑψοροφον, ὁς γληνεα πολλα κεχανδει,
Ες δ' αλοχον Ἑκαβην εκαλεσσατο, φωνησεν τε·
Δαιμονιη, Διοθεν μοι Ολυμπιος αγγελος ηλθε,
Λυσασθαι φιλον υἱον, ιοντ' επι νηας Αχαιων,

---

172. κακον οσσομενη. malum intuens: Ita A. 164, et, κακη γληνη, Θ. 164. In omni Oriente magnus est mali oculi metus. Knightius, κακα ϝοσσομ. edidit; vide I. 167.

181. Μηδε. Knightius septem versus damnat.

190. πειρινθα. calathum: vimineum nempe; Od. ο. 131. Simili plaustro etiamnum in Troade utuntur.

192. γληνεα. gemmas: res pretiosas; a γληνη, oculi pupillus, Ξ. 494. κεχανδει. continebat: a χαζω.

194. Δαιμονιη. Divina: Usitata alloquendi formula est, interdum minùs exactè usurpata; ut B. 200.

Δωρα δ' Αχιλληϊ φερεμεν, τα κε θυμον ιηνη.
Αλλ' αγε μοι τοδε ειπε, τι τοι φρεσι ειδεται ειναι;
Αινως γαρ μ' αυτον γε μενος και θυμος ανωγει,
Κεισ' ιεναι επι νηας, εσω στρατον ευρυν Αχαιων.
Ως φατο· κωκυσεν δε γυνη, και αμειβετο μυθω·
Ω μοι, πη δη τοι φρενες οιχονθ', ηϊς το παρος περ
Εκλε' επ' ανθρωπους ξεινους, ηδ' οϊσι φανασσεις;
Πως εθελεις επι νηας Αχαιων ελθεμεν οιος,
Ανδρος ες οφθαλμους, ὁς τοι πολεας τε και εσθλους
Υϊας εξεναριξε; σιδηρειον νυ τοι ητορ.
Ει γαρ σ' αἱρησει και εσοψεται οφθαλμοισιν
Ωμηστης και απιστος ανηρ, ὁ δε σ' ουκ ελεησει,
Ουδε τι σ' αιδεσεται· νυν δε κλαιωμεν ανευθεν
Ημενοι εν μεγαρῳ· τῳ δ' ὡς ποθι μοιρα κραταιη
Γεινομενῳ επεφνησε λινῳ, ὁτε μιν τεκον αυτη,
Αργιποδας κυνας ασαι, εφων απανευθε τοκηων,
Ανδρι παρα κρατερῳ, του εγω μεσον ἡπαρ εχοιμι
Εσθεμεναι προσφυσα· τοτ' αντιτα εργα γενοιτο
Παιδος εμου· επει ου σε κακιζομενον γε κατεκτα,
Αλλα προ Τρωων και Τρωϊαδων βαθυκολπων
Εσταοτ', ουτε φοβου μεμνημενον, ουτ' αλεωρης.
Την δ' αυτε προσεειπε γερων Πριαμος θεοειδης·
Μη μ' εθελοντ' ιεναι κατερυκανε, μηδε μοι αυτη
Ορνις ενι μεγαροισι κακος πελευ· ουδε με πεισεις.
Ει μεν γαρ τις μ' αλλος επιχθονιων εκελευεν,
Η οἱ μαντιες εισι, θυοσκοοι, η ἱερηες,
Ψευδος κεν φαιμεν, και νοσφιζοιμεθα μαλλον·
Νυν δ', αυτος γαρ ακουσα Θεου, και εσεδρακον αντην,

---

201. Ω μοι. Infelix, quæ tanta animum dementia cepit? Æn. v. 465.

202. Εκλεο. Celeber eras: a κλεομαι· Od. ν. 299.

207. ὁ δε σ' ουκ ελεησει. is verò tui non miserescet: Ita X. 123; vulgò, ανηρ ὁδε, ου σ' ελεησει, contra metrum. Vide A. 58.

212. Ανδρι. Knightius quinquè versus damnat.

214. κακιζομενον. dehonestatum: Verbum non alibi occurrit. Forsitan, κακον ρεζοντα, magis Homericum esset.

216. αλεωρης. devitationis: M. 57.

219. Ορνις ενι μεγαροισι. Avis in domibus: Ita MSS. vide M. 218.

Ειμι, και ουχ ἁλιον ϝεπος εσσεται· ει δε μοι αισα
Τεθναμεναι παρα νηυσιν Αχαιων χαλκοχιτωνων,
Βουλομαι· αυτικα γαρ με κατακτεινειεν Αχιλλευς,
Αγκας εϝλοντ' εμον υἱον, επει γοου εξ ερον εἶην.
Η, και ϕωριαμων επιθηματα καλ' ανοϊγεν·
Ενθεν δωδεκα μεν περικαλλεας εκϝελε πεπλους,
Δωδεκα δ' απλοϊδας χλαινας, τοσσους δε ταπητας,
Τοσσα δε ϕαρεα καλα, τοσους δ' επι τοισι χιτωνας·
Χρυσου δε στησας εϕερεν δεκα παντα ταλαντα·
Εκ δε δυ' αιθωνας τριποδας, πισυρας δε λεβητας,
Εκ δε δεπας περικαλλες, ὁ ϝοι Θραϊκες πορον ανδρες
Εξεσιην ελθοντι, μεγα κτερας· ουδε νυ του περ
Φεισατ' ενι μεγαροις ὁ γερων· περι δ' ηθελε θυμῳ
Λυσασθαι ϕιλον υἱον· ὁ δε Τρωας μεν ἁπαντας
Αιθουσης απεεργε, ϝεπεσσ' αισχροισιν ενισσων·
Ϝερρετε, λωβητηρες, ελεγχεες· ου νυ και ὑμιν
Ϝοικοθ' ενεστι γοος, ὁτε μ' ηλθετε κηδησοντες;
Η ονεεσθ', ὁ μεθιν Κρονιδης Ζευς αλγε' εδωκε,
Παιδ' ολεσαι τον αριστον; αϕαρ γνωσεσθε και υμμες·
Ϝρηϊτεροι γαρ μαλλον Αχαιοισιν δη εσεσθε,
Κεινου τεθνειωτος, εναιρεμεν· αυταρ εγωγε,
Πριν γ' αλαπαζομενην τε πολιν, κεραϊζομενην τε,
Οϕθαλμοις ϕιδεειν, βαιην δομον Αϊδος εισω.

---

227. επει γοου εξ ερον εἶην. postquam clausûs amorem emisissem: Ita, επει ποσιος και εδητυος εξ ερον ἑντο, Α. 469. Vulgò, επην.

228. ϕωριαμων. arcarum: Od. ο. 104. ανοϊγεν. aperiebat: Vulgò, ανῳγεν· sed Homerus augmenta vocalibus non præfigit, et οϊγω rarò contrahitur; z. 89.

230. απλοϊδας χλαινας. simplices chlamydes: His opponitur διπλη, vel διπλαξ. ἱματιον μικρον, Hesychius.

232. στησας. pendens: Ν. 745. πισυρας. quatuor: Ο. 680.

235. Εξεσιην. Legationem: ab εξειμι· Od. ϕ. 20. Ita, αγγελιην, Λ. 140.

241. Η ονεεσθ'. Anne juvamini: id est, hoccine vobis lucro est? ab ονημι. Vulgò, ονεσθ'· sed malè prima producitur.

247. σκηπανιῳ διεπε. baculo urgebat: Α. 166, Β. 207.

253. κατηϕονες. pudibundi: Ita, κατηϕειη, Γ. 51.

256. Γιλιῳ ειν ἱερῃ. In Trojâ sacrâ: Ita, Γιλιον εις ἱερην, Η. 20; vulgò Τροιῃ εν ευρειῃ· sed Τροῖη non alibi contrahitur, nisi iterum Ω. 464. Knightium versum damnat.

Η, και σκηπανιῳ διεπ᾽ ανερας· οἱ δ᾽ ισαν εξω,
Σπερχομενοιο γεροντος· ὁ δ᾽ υἱασι ϝοισιν ὁμοκλα
Νεικειων, Ἑλενον τε, Παριν τ᾽, Αγαθωνα τε διον,
Παμμονα τ᾽, Αντιφονον τε, βοην αγαθον τε Πολιτην,
Δηϊφοβον τε, και Ἱπποθοον, και Διον αγαυον.
Εννεα τοις ὁ γεραιος ὁμοκλησας εκελευε·
Σπευσατε μοι, κακα τεκνα, κατηφονες· αιθ᾽ ἁμα παντες
Ἑκτορος ωφελετ᾽ αντι θοης επι νηυσι πεφασθαι.
Ω μοι εγω παναποτμος, επει τεκον υἱας αριστους
Ϝιλιῳ ειν ἱερῃ, των δ᾽ ουτινα φημι λελειφθαι,
Μηστορα τ᾽ αντιθεον, και Τρωϊλον ἱππιοχαρμην,
Ἑκτορα θ᾽, ὁς Θεος εσκε μετ᾽ ανδρασιν, ουδε ϝεοικει
Ανδρος γε θνητου παϊς εμμεναι, αλλα Θεοιο·
Τους μεν απωλεσ᾽ Αρης, τα δ᾽ ελεγχεα παντα λελειπται,
Ψευσται τ᾽, ορχησται τε, χοροιτυπιῃσιν αριστοι,
Ϝαρνων ηδ᾽ ερίφων επιδημιοι ἁρπακτηρες.
Ου κεν δη μοι αμαξαν εφοπλισσαιτε ταχιστα,
Ταυτα τε παντ᾽ επιθειθ᾽, ὁφρα πρησσωμεν ὁδοιο;
Ὡς εφαθ᾽· οἱ δ᾽ αρα πατρος ὑποδδεισαντες ὁμοκλην,
Εκ μεν αμαξαν αειραν εϋτροχον ἡμιονειην,
Καλην, πρωτοπαγη· πειρινθα δε δησαν επ᾽ αυτης,
Καδδ᾽ απο πασσαλοφιν ζυγον ἡρεον ἡμιονειον,
Πυξινον, ομφαλοεν, ευ οιηκεσσιν αρηρος·

---

257. Μηστορα και Τρωϊλον. Poeta non alibi hos Priami filios memorat. Vide Æn. i. 474; Horat. Carm. 2. 9. 16.

263. εφοπλισσαιτε. instrueretis: Ita, ου κεν ϝερυσαιο, E. 456. Alii, εφοπλισσητε.

264. επιθειθ᾽, ὁφρα. imponeretis, ut: Vulgò, επιθειτε, ἱνα, contra metrum. επιθειτε, optativus est, ut διακριθειτε, Γ. 102, et cum εφοπλισσαιτε concordat; alii, επιθητε, quod επιθειετε esset, A. 26, 143.

266. Εκ μεν αμαξαν αειραν. Rhedam quidem extulerunt, bonis rotis, mulinam, Pulchram, noviter factam; calathum verò ligabant super eam; A paxillo verò jugum levârunt mulinum, Buxinum, umbilicatum, bene annulis aptatum; Extuleruntque vinclum jugale cum jugo novem cubitus longum; Et hoc quidem deposuerunt bene politum super temonem, Pede in primo, annulumque clavo injecerunt; Ter utrinque ligârunt ad umbilicum; at postea Ordine deligârunt, et sub lingulam flexerunt: Vide Δ. 297, E. 722.

Εκ δ' εφερον ζυγοδεσμον ἁμα ζυγῳ εννεαπηχυν·
Και το μεν ευ κατεθηκαν εὐξεστῳ επι ϝρυμῳ,
Πεζῃ επι πρωτῃ, επι δε κρικον ἑστορι βαλλον·
Τρις ϝεκατερθεν εδησαν επ' ομφαλον· αυταρ επειτα
Ἐξεινης κατεδησαν, ὑπο γλωχινα δ' εγναμψαν·
Εκ θαλαμου δε φεροντες, εὐξεστου επ' απηνης
Νηεον Ἑκτορεης κεφαλης απερεισι' αποινα.
Ζευξαν δ' ἡμιονους κρατερωνυχας, εντεσιϝεργους,
Τους ϝρα ποτε Πριαμῳ Μυσοι δοσαν αγλαα δωρα.
Ἱππους δε Πριαμῳ ὑπαγον ζυγον, ους ὁ γεραιος
Αυτος εχων ατιταλλεν εὐξεστῳ επι φατνῃ·
Τῳ μεν ζευγνυσθην εν δωμασιν ὑψηλοισι
Κηρυξ και Πριαμος, πυκινα φρεσι μηδε' εχοντες.
Αγχιμολον δε ϝρ' ηλθ' Ἑκαβη τετιηοτι θυμῳ,
Οινον εχουσ' εν χειρι μελιφρονα δεξιτερηθι,
Χρυσεῳ εν δεπαϊν, ὁϝρα σπεισαντε κιοιτην·
Στη δ' ἱππων προπαροιθε, ϝεπος τ' εφατ', εκ τ' ονομαζε·
Τη σπεισον Διϊ πατρι, και ευχεο ϝοικον ἱκεσθαι
Αψ εκ δυσμενεων ανδρων· επει αρ σεγε θυμος
Οτρυνει επι νηας. εμειο μεν ουκ εθελουσης.
Αλλ' ευχευ συγ' επειτα κελαϝνεφεϊ Κρονιωνι
Ἰδαιῳ, ὁς τε Τροϊην κατα πασαν ὁρᾶται·
Αιτεε δ' οιωνον ταχυν αγγελον, ὁς τε ϝοι αυτῳ
Φιλτατος οιωνων, και ϝευ κρατος εστι ϝμεγιστον,
Δεξιον· ὁϝρα μιν αυτος εν οφθαλμοισι νοησας,

---

273. Τρις ϝεκατερθεν. Vulgò, Τρις δ' ἑκατερθεν· vide Γ. 340.

274. εγναμψαν. Alii, εκαμψαν· cùm vocalis ante γν non alibi corripiatur.

283. Αγχιμολον δε ϝρ' ηλθε. Prope verò sanè venit: Vulgò, σφ' αὖθ· Γ. 300.

285. δεπαϊν. poculo: Scripsisse potuit, Εν δεπαϊ χρυσεῳ· sed similis hiatus occurrit, Β. 781, et passim in Odysseâ. σπεισαντε. libantes: vulgò, λειψαντε· sed ὁϝρα non alibi in cæsurâ ultimam producit.

291. Ἰδαιῳ. Knightius versum, ut commentum, omittit.

293. και ϝευ. et ejus: pro cujus, ut και ϝοι, pro cui, Α. 79.

297. παροτρυνουσα. dehortans: id est, in alteram partem hortans; ut παρεπεισε, et παρ/ειπων, Η. 120, 121. Hesychius hanc lectionem præbet. Vulgò, εποτρυνουσα, contra et sensum et metrum.

304. Χερ/νιβον. Lavacrum: id est, vas ad recipiendum manibus infusam

Τῷ πισυνος επι νηας ιης Δαναων ταχυπωλων.
Ει δε τοι ου δωσει εϝον αγγελον ευρυοπα Ζευς,
Ου κεν εγωγε σ' επειτα παροτρυνουσα κελοιμην
Νηας επ' Αργειων ιεναι, μαλα περ μεμαωτα.
Την δ' απαμειβομενος προσεφη Πριαμος θεοειδης·
Ω γυναι, ου μεν τοι τοδ' εφιεμενη απιθησω·
Εσθλον γαρ Διϊ χειρας ανασχεμεν, αι κ' ελεηση.
Η ϝρα, και αμφιπολον ταμιην ωτρυν' ὁ γεραιος
Χερσιν ὑδωρ επιχευαι ακηρατον· ἡ δε παρεστη,
Χερνιβον αμφιπολος, προχοον θ' ἁμα, χερσιν εχουσα.
Νιψαμενος δε, κυπελλον εδεξατο ϝης αλοχοιο·
Ευχετ' επειτα στας μεσῳ ἑρκεϊ, λειβε δε ϝοινον,
Ουρανον εισανορῶν· και φωνησας ϝεπος ηυδα·
Ζευ πατερ, Ιδηθεν μεδεων, κυδιστε, ϝμεγιστε,
Δος μ' ες Αχιλληος φιλον ελθειν, ηδ' ελεεινον·
Πεμψον δ' οιωνον ταχυν αγγελον, ὅς τε σοι αυτῳ
Φιλτατος οιωνων, και ϝευ κρατος εστι ϝμεγιστον,
Δεξιον· ὁϝρα μιν αυτος εν οφθαλμοισι νοησας,
Τῷ πισυνος επι νηας ιω Δαναων ταχυπωλων.
Ὡς εφατ' ευχομενος· του δ' εκλυε μητιετα Ζευς·
Αυτικα δ' αιετον ἡκε, τελειοτατον πετεηνων,
Μορφνον, θηρητηρ', ὁν και Περκνον καλεουσιν.
Ὁσση δ' ὑψοροφοιο θυρη θαλαμοιο τετυκται
Ανερος αφνειου, ευ κληϊδεσσ' αραρυια·
Τοσσ' αρα του ϝεκατερθεν εσαν πτερα· ϝεισατο δε σφιν

---

aquam, quod et lebes vocatur; ita Schol. Forsitan tamen est aqua ipsa, quæ in Odysseâ χερνιβα vocatur; α. 136, γ. 440, 445. Bentleius, χερνιβα τ', hic proposuit.

307. Ουρανον εισανορῶν. Ad cœlum suspiciens: Vulgò, εισανιδων. Bentleius, εισοροων.

316. Μορφνοι. Fuscum, venatorem, quem et atrum vocant: Μορφνον. Ητοι περι φονους μεμορηκοτα, τον φονιον. η μελανα· η ἁρπαγα· οἱ δε αιετου ειδος. Περκνον. Τον αυτον τῳ προειρημενῳ· μελανα, αφ' οὑ και τον μελαινομενον καρπον περκαζειν λεγομεν: Schol. Vide Φ. 252.

318. Ανερος αφνειου, ευ κληϊδεσσ' αραρυια. Hominis divitis, bene pessulis aptata: Vulgò, Ανερος αφνειοιο, εὖ κληῖς, αραρυια· sed αραρυια casum postulat, et Scholiastes, εὖ κληῖσ' αραρυια, legebat. Sic, ευ οικεσσιν αρηρος, Ω. 269, et passim.

Δεξιος αϊξας δια ϝαστεος· οἱ δε ϝιδοντες
Γηθησαν, και πασιν ενι φρεσι θυμος ιανθη.
Σπερχομενος δ' ὁ γερων ξεστου επεβησατο διφρου·
Εκ δ' ελασε προθυροιο και αιθουσης εριδουπου.
Προσθε μεν ἡμιονοι ἑλκον τετρακυκλον απηνην,
Τας Ιδαιος ελαυνε δαϊφρων· αυταρ οπισθεν
Ἱπποι, τους ὁ γερων εφεπων ϝμαστιγι κελευε
Καρπαλιμως κατα ϝαστυ· φιλοι δ' ἁμα παντες ἑποντο,
Πολλ' ολοφυρομενοι, ὡς ει θανατονδε κιοντα.
Οἱ δ' επει ουν πολιος κατεβαν, πεδιον δ' αφικοντο,
Οἱ μεν αρ αψοϝροοι προτι Γιλιον απονεοντο,
Παιδες και γαμβροι· τω δ' ου λαθον ευρυοπα Ζευν,
Ες πεδιον προφανεντε· ϝιδων δ' ελεησε γεροντα,
Αιψα δ' αρ Ἑρμειαν, υἱον φιλον, αντιον ηυδα·
Ἑρμεια, σοι γαρ τε μαλιστα γε φιλτατον εστιν
Ανδριν ἑταϝρισσαι, και τ' εκλυες, ᾧ κ' εθελησθα·
Βασκ' ἰθι, και Πριαμον κοιλας επι νηας Αχαιων
Ὡς αγαγ', ὡς μη τις ϝε ϝιδῃ, μητε ϝρα νοησῃ
Των αλλων Δαναων, πριν Πηλεϊωνος ἱκεσθαι.
Ὡς εφατ'· ουδ' απιθησε διακτορος Αργειφοντης·
Αυτικ' επειθ' ὑπο ποσσιν εδησατο καλα πεδιλα,
Αμβροσια, χρυσεια, τα μιν φερον ημεν εφ' ὑγρην,
Ηδ' επ' απειρονα γαιαν, ἁμα πνοιῃς ανεμοιο·
Ελετο δε ϝραβδον, τῃ τ' ανδρων ομματα θελγει,
Ὧν εθελει, τους δ' αυτε και ὑπνωοντας εγειρει·
Την μετα χερσιν εχων πετετο κρατυς Αργειφοντης.

---

320. δια ϝαστεος. per urbem: Ita, δια ϝοικια, Od. β. 154. MSS. et Edd. δι' αστεος· Ald. 2. ὑπερ αστεος, induxit.

335. Ανδριν ἑταϝρισσαι. Hominem comitari: vide A. 578, E. 5.

337. ὡς μη τις ϝε ϝιδῃ, μητε ϝρα νοησῃ. ut nemo eum videat, nec sanè animadvertat: Bentleius, μητ' αρ ϝε νοησῃ· vulgò, ὡς μητ' αρ τις ἰδῃ, μητ' αρ τε νοησῃ.

338. Πηλεϊωνος· ad Achillis tentorium: Vulgò, Πηλειωναδ'· sed δε non alibi viri nomini adjungitur. Confer Ω. 122, 309.

347. αισυμνητηρι. principi: Aristarchus, αισυμνητηρι, ut MSS. nonnulli, et Hesychius. Aristoteles monarchos antiquitus αισυμνητας vocari dicit. Forsitan, αισυμνητηθι, ut, Αισυμνητα γεροντος, B 793.

348. Πρωτον ὑπηνητη. Primùm barbato: Ὑπηνη, μυσταξ. Hesych.

349. ϝμεγα σημα παρεκ Γιλοιο πελασσαν. magnum monumentum ultra Ilii appropinquârant: Vide M. 112, Ω. 155. Vulgò, ελασσαν, contra metrum.

Αιψα δ' αρα Τροϊην τε και Ἑλλησποντον ικανε·
Βη δ' ιεναι, κουρῳ αισυητηρι ϝεοικως,
Πρωτον ὑπηνητη, του περ χαριεστατη ἡβη.
Οἱ δ' επει ουν ῥμεγα σημα παρεκ Ϝιλοιο πελασσαν,
Στησαν αρ ἡμιονους τε και ἱππους, οῤρα πιοιεν,
Εν ποταμῳ· δη γαρ και επι κνεφας ηλυθε γαιαν·
Τον δ' εξ αγχιμολοιο ϝιδων εφρασσατο κηρυξ
Ἑρμειαν, προτι δε Πριαμον φατο, φωνησεν τε·
Φραζεο, Δαρδανιδη· φραδεος νοου επλετο ϝεργα·
Ανδρ' ὁρῳ, ταχα δ' αμμε διαῤραισεσθαι οἰῳ·
Αλλ' αγε δη φευγωμεν εφ' ἱππων· η μιν επειτα
Γουνων ἁψαμενοι ϝλιτανευσομεν, αι κ' ελεηση.
Ὡς φατο· συν δε γεροντι χυτο νοος, εδδιε δ' αινως·
Ορθαι δε τριχες εσταν ενι γναμπτοισι μελεσσι·
Στη δε ταφων· αυτος δ' Εριουνιος εγγυθεν ελθων,
Χειρα γεροντος εϝλων, εξεῤρετο και προσεϝειπε·
Πη, πατερ, ὡδ' ἱππους τε και ἡμιονους ιθυνεις
Νυκτα δι' αμβροσιην, ὁτε κ' εὐδουσι βροτοι αλλοι;
Ουδε συγ' εδδεισας μενεα πνειοντας Αχαιους,
Οἱ τοι δυσμενεες και αναρσιοι εγγυς εασιν;
Των ει τις σε ϝιδοιτο, θοην δια νυκτα μελαιναν,
Τοσσαδ' ονειατ' αγοντα, τις αρ δη τοι νοος ειη;
Ουτ' αυτος νεος ἐσσι, γερων δε τοι οὗτος οπηδεῖ,
Ανδρ' απαμυνασθαι, ὁτε τις προτερος χαλεπηνῃ·
Αλλ' εγω ουδεν σε ῥεξω κακον, ηδε κεν αλλον
Σευ απαλεξησαιμι· φιλῳ δε σε πατρι ϝεϊσκω.

---

351. Εν ποταμῳ. id est, Scamandro. Forsitan Priamus fluvium trajecturus erat; Mercurius tamen per castra ducit. Vide Ω. 449.

354. φραδεος νοου επλετο ϝεργα. prudentis mentis est opus: Vulgò, φραδεος νοου εργα τετυκται, quod in digamma peccat; synonymum igitur substitui, ut Δ. 470, P. 279. Bentleius νου proposuit, sed nusquam in Homero contrahitur. Knightius versum damnat.

358. χυτο νοος, εδδιε δ' αινως. confundebatur animus, metuebat verò vehementer: Vulgò, νοος χυτο, δειδιε δ' αινως· sed Eustathius bis χυτο νοος citat, et δειδια sensum præteritum non habet; Σ. 34.

367. τις αρ δη. quis sane revera tibi mens esset: Vulgò, τις αν δη.

370. ηδε κεν. etiam tum: Ita Eustathius, Heynius, et tres MSS. Alii, και δε κεν, et, αλλα κεν.

Τον δ' ημειβετ' επειτα γερων Πριαμος θεοειδης·
Ούτω πη ταδε γ' εστι, φιλον τεκος, ως αγορευεις·
Αλλ' ετι τις και εμειο Θεων υπερεσχεθε χειρα,
Ος μοι τοιονδ' ηκεν οδοιπορον αντιβολησαι,
Αισιον, οιος δη συ δεμας και ειδος αγητος,
Πεπνυσαι τε νοον, μακαρων δ' εξ εσσι τοκηων.
Τον δ' αυτε προσεειπε διακτορος Αργειφοντης·
Ναι δη ταυτα γε παντα, γερον, κατα μοιραν εειπες·
Αλλ' αγε μοι τοδε ειπε, και ατρεκεως καταλεξον,
Ηε πη εκπεμπεις κειμηλια πολλα και εσθλα
Ανδρας ες αλλοδαπους, ινα περ ταδε τοι σαα μιμνη;
Η ηδη παντες καταλειπετε Ιλιον ιρην
Δειδιοτες; τοιος γαρ ανηρ ος αριστος ολωλε,
Σος παις· ου μεν γαρ τι μαχης επεδευετ' Αχαιων.
Τον δ' ημειβετ' επειτα γερων Πριαμος θεοειδης·
Τις δε συ εσσι, φεριστε, τεων δ' εξ εσσι τοκηων,
Ος μοι καλα τον οιτον αποτμου παιδος ενισπες;
Τον δ' αυτε προσεειπε διακτορος Αργειφοντης·
Πειρᾳ εμειο, γεραιε, και εφρεαι Εκτορα διον·
Τον μεν εγω μαλα πολλα μαχη ενι κυδιανειρη
Οφθαλμοισιν οπωπα, και ευτ' επι νηυσιν ελασσας
Αργειους κτεινεσκε, δαιζων οξει χαλκω·
Ημεις δ' εσταοτες θαυμαζομεν· ου γαρ Αχιλλευς
Ειφα μαρνασθαι, κεχολωμενος Ατρειωνι.
Του γαρ εγω θεραπων, μια δ' ηγαγε νηυς εϋεργης·
Μυρμιδονων δ' εξ ειμι· πατηρ δε μοι εστι Πολυκτωρ·
Αφνειος μεν ὁδ' εστι, γερων δε δη, ως συ περ ωδε·
Εξ δε οι υιες εασιν, εγω δε τοι εβδομος ειμι·

---

384. ος αριστος. qui optimus: Vulgò, αριστος· vide Λ. 288.

385. Σος παις. Knightius versum, ut Scholion ineptum damnat.

387. τεων εξ. e quibusnam: vide Β. 225.

390. Πειρᾳ εμειο. Tentas me: pro Πειραεαι, ut iterum Ω. 433. Knightius hoc non licere censet, et πειρα' pro πειραε, et εφρεο edidit. Cùm tamen, Χρυσεῳ ανα σκηπτρῳ, et, Δενδρεῳ εφεζομενοι, legantur, hoc quoque reliqui. Forsitan, Πειρᾶς μειο.

409. προεθηκεν. exposuit: Vulgò, προυθηκεν.

Των, μεταπαλλομενος, κληρῳ λαχον ενθαδ' ἑπεσθαι·
Νυν δ' ηλθον πεδιονδ' απο νηων· Ηοοθεν γαρ
Θησονται περι ϝαστυ μαχην ϝελικωπες Αχαιοι.
Ασχαλοωσι γαρ οἵγε καθημενοι, ουδε δυνανται
Ισχειν ερυσμενους πολεμου βασιληες Αχαιων.
Τον δ' ημειβετ' επειτα γερων Πριαμος θεοειδης·
Ει μεν δη θεραπων Πηληϊαδεω Αχιληος
Εις, αγε δη μοι πασαν αληθειην καταλεξον·
Η ετι παρ νηυσιν εμος παϊς, ηε μιν ηδη
Ϝησι κυσιν μελεϊστι ταμων προεθηκεν Αχιλλευς;
Τον δ' αυτε προσεφειπε διακτορος Αργειφοντης·
Ω γερον, ουπω τονδε κυνες φαγον, ουδ' οιωνοι·
Αλλ' ετι κεινος κειται Αχιλληος παρα νηϊ
Αυτως εν κλισιηθι· δυωδεκατη δε οι Ηως
Κειμενῳ, ουδε τι οι χρως σηπεται, ουδε μιν ευλαι
Εσθουσ', αἵ ϝρα τε φωτας Αϝρηϊφατους κατεδουσιν.
Η μεν μιν περι σημα ϝεου ἑταροιο φιλοιο
Ἑλκει ακηδεστως, Ηως οτε δῖα φανειη·
Ουδε μιν αισχυνει· θηοῖο κεν αυτος επελθων,
Οἷον εερσηεις κειται, περι δ' αἱμα ϝεϝιπται,
Ουδε ποθι μιαρος· συν δ' ἑλκεα παντα μεμυκεν,
Ὅσσ' ετυπη· πολεες γαρ εν αυτῳ χαλκον ελασσαν·
Ὡς τοι κηδονται μακαρες Θεοι υἷος εηος,
Και νεκυος περ εοντος· επει σφι φιλος περι κῆρι.
Ὡς φατο· γηθησεν δ' ὁ γερων, και αμειβετο μυθῳ·
Ω τεκος, η ϝρ' αγαθον και εναισιμα δωρα διδουναι
Αθανατοις· επει ουποτ' εμος παϊς, ει ποτ' εεν γε,
Ληθετ' ενι ϝμεγαροισι Θεων, οἳ Ολυμπον εχουσι·

---

416. ϝεου. sui: A. 533. Forsitan, φιλου ἑταϝροιο θανοντος.
417. φανειη. appareat: subjunctivus Ionicus, A. 26.
418. θηοῖο. mirareris: a θηεομαι, H. 444. Alii, θειοιο.
420. μεμυκεν. clausa sunt: a μυω, Ω. 637. Forsitan, ϝεϝμυκεν, ut sit a ϝμυω, et similiter ϝμυσειε pro ημυσειε, B. 373; Hesychius enim, Μυσειε, εκπορθησειε, habet. Septem loca hanc formam admittunt, rejicit nullus.
421. εν αυτῳ. in eo: Ita Ed. Pr. et MSS. meliores; alii, επ' αυτῳ. Knightius tres versus damnat.
425. διδουναι. dare: Ita, φορηναι, τιθημεναι· διδοναι non occurrit.

Τῷ ῥοι επεμνησαντο και εν θανατοιο περ αισῃ.
Αλλ' αγε δῃ τοδε δεξαι εμευ παρα καλον αλεισον·
Αυτον τε ῥυσαι, πεμψον δε με, συν γε Θεοισιν,
Ὄφρα κε δῃ κλισιην Πηληϊαδεω αφικωμαι.
Τον δ' αυτε προσεφειπε διακτορος Αργειφοντης·
Πειρᾷ εμειο, γεραιε, νεωτερου, ουδε με πεισεις·
Ὡς με κελῃ σεο δωρα παρεξ Αχιλῆα δεχεσθαι.
Τον μεν εγω δειδοικα, και αιδεομαι περι κῆρι,
Συλησαι, μη μοι τι κακον μετοπισθε γενηται.
Σοι δ' αρ εγω πομπος και κε κλυτον Αργος ἱκοιμην,
Ενδυκεως εν νηϊ θοῃ, η πεζος ὁμαρτεων·
Ου κεν τις τοι πομπον ονοσσαμενος μαχεσαιτο.
Η, και επαϊξας Εριουνιος ἅρμα και ἱππους,
Καρπαλιμως ῥμαστιγα και ἡνια λαζετο χερσιν·
Εν δ' επνευσ' ἱπποισι και ἡμιονοις μενος ηϋ.
Αλλ' ὁτε δῃ πυργους τε νεων και ταφρον ἱκοντο,
Οἱ δε νεον περι δορπα φυλακτηρες πονεοντο,
Τοισι δ' εφ' ὑπνον εχευε διακτορος Αργειφοντης
Πασιν· αφαρ δ' ωϊξε πυλας, και απωσεν οχηας,
Ες δ' αγαγε Πριαμον τε και αγλαα δωρ' επ' απηνης.
Αλλ' ὁτε δῃ κλισιην Πηληϊαδεω αφικοντο
Ὑψηλην, την Μυρμιδονες ποιησαν αν' ακτῃ,
Δουρ' ελατης κερσαντες· αφαρ καθυπερθεν ερεψαν,

---

428. Τῷ ῥοι επεμνησαντο. Quare ei recordati sunt: id est, donorum recordati sunt in favorem ejus. Ita Edd. Vett. et o. 662. Alii, Των· alii, απεμνησαντο. Sic apud Hesiodum;

Οἱ ῥοι απεμνησαντο χαριν ευεργεσιαων. Theogon. 503.

431. Ὄφρα κε δῃ. Donec revera: Ita Ω. 443, 448. Vulgò, Οφρα κεν ες· vide Ω. 122.

434. παρεξ Αχιλῆα δεχεσθαι. clam Achille accipere: Edd. Vett. παρεξ Αχιλῆος εχεσθαι. Idem in Scriptis Sacris Gehazi exemplo docetur.

436. Συλησαι. Spoliare: Vulgò, Συλευειν· vide E. 48.

437. Σοι δ' αρ εγω. Tibi verò sanè ego: Vulgò, malè, Σοι δ' αν εγω, cùm κε sequatur.

449. ποιησαν αν' ακτῃ. fecerant in littore: Vulgò, ποιησαν ανακτι, ut et Ω. 452, quod in digamma peccat; unam igitur literam mutavi. Bentleius, δειμαντο, quod in Odysseâ occurrit, et Dawesius, πονεοντο, vel, αγαυοι, proposuerunt. Forsitan Achillis tentoria ad mare Ægæum tendebantur, et ponte ligneo, ut hodie, cum cætero exercitu jungebantur.

Λαχνηεντ' οροφον λειμωνοθεν αρμησαντες·
Αμφι δε οι μεγαλην αυλην ποιησαν αν' ακτη
Σταυροισιν πυκινοισι· θυρην δ' εχε μουνος επίβλης
Ειλατινος, τον τρεις μεν επιρρησεσκον Αχαιοι,
Τρεις δ' ανοϊγεσκον μεγαλην κληϊδα θυραων,
Των αλλων· Αχιλευς δε ῥ' επιρρησεσκε και οιος.
Δη ῥα τοθ' Ερμειας ῥεια ῥ' ωϊξε γεροντι,
Ες δ' αγαγε κλυτα δωρα ποδωκεϊ Πηλεϊωνι·
Εξ ἱππων δ' απεβαινεν επι χθονι, φωνησεν τε·
Ω γερον, ητοι εγω Θεος αμβροτος ειληλουθα
Ερμειας· σοι γαρ με πατηρ ἁμα πομπον οπασσεν·
Αλλ' ητοι μεν εγω παλιν εισομαι, ουδ' Αχιληος
Οφθαλμους εισειμι· νεμεσσητον δε κεν ειη,
Αθανατον Θεον ὡδε βροτους αγαπαζεμεν αντην.
Τυνη δ' εισελθων ῥλαβε γουνατα Πηλεϊωνος,
Και μιν ὑπερ πατρος και μητερος ηϋκομοιο
Γλισσεο, και τεκεος· ἱνα οι συν θυμον ορινῃς.
Ως αρα φωνησας, απεβη προς μακρον Ολυμπον
Ερμειας· Πριαμος δ' εξ ἱππων αλτο χαμαζε,
Ιδαιον δε κατ' αυθι λιπεν· ὁ δε μιμνεν εῤῥυκων
Ἱππους ἡμιονους τε· γερων δ' ιθυς κιε ῥοικου,
Τη ῥ' Αχιλευς ἱζεσκε, Διϊ φιλος· εν δε μιν αυτον
Εὗρ', ἑταῤροι δ' απανευθε καθειατο· τῳ δε δυ' οιω

---

451. Λαχνηεντ' οροφον. Villosum tectum: id est, calamum, aut arundinem; ab ερεφω, tego. λειμωνοθεν. e prato: ablativus antiquus; A. 208.

453. επιβλης. obex: ab επιβαλλω. Vox non alibi occurrit.

454. επιρρησεσκον. adigebant: ab επιρρημι· vide αποῤῥημι, A. 430. MSS. et Edd. Vett. επιῤῥησσεσκον, pro quo malè editiones recentes, επιῤῥησσεσκον, ut sit a ῥησσω, frango, quod sensum idoneum non præbet.

455. ανοϊγεσκον. aperiebant: Vulgò, ανασιγεσκον· sed οϊγω rarò contrahitur, et ανα non elidi nequit. Vide z. 89.

456. Αχιλευς δε. Vulgò, Αχιλευς δ' αρ επιῤῥησσεσκε.

457. ῥεια ῥ' ωϊξε. facilè eam aperuit: id est, januam; et sic, Ῥεια μαλ', ὡς τε Θεος, Γ. 381, et, Ῥεια μετοχλισσειε, Ω. 567. Vulgò, ερισυνιος ωξε· sed ωϊξε non ita contrahi posse opinor, et pronomen desideratur.

465. Τυνη. Knightius tres versus damnat, quia Priamus Achillem postea per matrem et filium non oret.

Ἥρως Αὐτομεδων τε, και Αλκιμος οζος Αρηος,
Ποιπνυον παρεοντε· νεον δ' απεβληγεν εδωδης
Εσθων και πινων· ετι και παρεκειτο τραπεζα.
Τους δ' ελαθ' εισελθων Πριαμος μεγας, αγχι δ' αρα στας,
Χερσιν Αχιλληος γλάβε γουνατα, και κυσε χειρας
Δεινας, ανδροφονους, αἳ μοι πολεας κτανον υἱας.
Ὡς δ' ὁτε κ' ανδρ' αφατη πυκινη γλαβῃ, ὃς τ' ενι πατρῃ
Φωτα κατακτεινας, αλλων εξικετο δημον,
Ανδρος ες αφνειου, θαμβος δ' εχει εισοροωντας·
Ὡς Αχιλευς θαμβησε, ἰδων Πριαμον θεοειδεα·
Θαμβησαν δε και αλλοι, ες αλληλους δε ἰδοντο.
Τον δε λισσομενος Πριαμος προς μῦθον εειπε·
Μνησαι πατρος σειο, Θεοις επιείκελ' Αχιλλευ,
Τηλικου, ὡς περ εγων, ολοῳ επι γηραος ουδῳ.
Και μεν που κεινον περιναιεται αμφις εοντες
Τειρουσ', ουδε τις εστι, μαρην και λοιγον αμυναι·
Αλλ' ητοι κεινος γε, σεφιν ζωοντος ακουων,
Χαιρει τ' εν θυμῳ, και ελπεται ημαρ απαντα
Οψεσθαι φιλον υἱον, απο Τροιῆθεν ιοντα·
Αυταρ εγω παναποτμος, επει τεκον υἱας αριστους
Γιλιῳ ειν ἰερῃ, των δ' ουτινα φημι λελειφθαι.
Πεντηκοντα μοι ησαν, ὁτ' ηλυθον υἱες Αχαιων·
Εννεακαιδεκα μεν μοι ης εκ νηδυος ησαν,
Τους δ' αλλους μοι ετικτον ενι μεγαροισι γυναικες.
Των μεν πολλων θουρος Αρης ὑπο γουνατ' ελυσεν·
Ὃς δε μοι οιος εεν, ερυτο δε ῥαστυ και αυτους,
Τον συ πρωην κτεινας, αμυνομενον περι πατρης,

---

475. Ποιπνυον. Ministrabant: Vide A. 600.

486. Μνησαι πατρος σειο. Epilogus quis unquam poterit illis Priami rogantis Achillem precibus æquari? Quintil. lib. x. c. 1.

miseri si te qua parentis
Tangere cura potest, oro, fuit et tibi talis
Anchises genitor, Dauni miserere senectæ. Æn. xii. 932.

491. και ϝελπεται. et sperat: Ita Bentleius; vulgò, επι τ' ελπεται, quod in digamma peccat; A. 545.

Ἕκτορα· του νυν εἵνεχ' ἱκανω νηας Αχαιων,
Λυσομενος παρα σειο, φερω δ' απερεισι' αποινα.
Αλλ' αιδειο Θεους, Αχιλευ, αυτον τ' ελεησον,
Μνησαμενος σου πατρος· εγω δ' ελεεινοτερος περ,
Ετλην δ', οἷ' ουπω τις επιχθονιος βροτος αλλος, 505
Ανδρος παιδοφονοιο ποτι στομα χειρ' ορεγεσθαι.
Ὡς φατο· τῳ δ' αρα πατρος ὑφ' ἱμερον ωρσε γοοιο,
Ἁψαμενος δ' αρα χειρος, απωσατο ῆκα γεροντα.
Τω δε μνησαμενω, ὁ μεν Ἕκτορος ανδροφονοιο,
Κλαι' αδινα, προπαροιθε ποδων Αχιλῆος ελυτθεις· 510
Αυταρ Αχιλλευς κλαιεν εφον πατερ', αλλοτε δ' αυτε
Πατροκλον· των δε στοναχη κατα δωματ' ορωρει.
Αυταρ επει ῥα γοοιο τεταρπετο διος Αχιλλευς,
Και ῥοι απο πραπιδων ηλθ' ἱμερος, ηδ' απο γυιων,
Αυτικ' απο θρονου ωρτο, γεροντα δε χειρος ανιστη, 515
Οικτειρων πολιον τε καρη, πολιον τε γενειον·
Και μιν φωνησας ῥεπεα πτεροεντα προσηυδα·
Ἀ δειλ', η δη πολλα κακ' ανσχεο σον κατα θυμον.
Πως ετλης επι νηας Αχαιων ελθεμεν οιος,
Ανδρος ες οφθαλμους, ὁς τοι πολεας τε και εσθλους 520
Ὑἱας εξεναριξα; σιδηρειον νυ τοι ητορ.
Αλλ' αγε δη, κατ' αρ ἑζευ επι θρονου· αλγεα δ' εμπης
Ἐν θυμῳ κατακεισθαι εφασομεν, αχνυμενοι περ·
Ου γαρ τις πρηξις πελεται κρυεροιο γοοιο.
Ὡς γαρ επεκλωσαντο Θεοι δειλοισι βροτοισι, 525
Ζωειν αχνυμενους· αυτοι δε τ' ακηδεες εισι.
Δοιοι γαρ τε πιθοι κατακειαται εν Διος ουδει

---

494. Γιλιῳ εν ἱερῃ. Vide Ω. 256. Knightius quatuor versus damnat.
503. αιδειο. reverere: pro αιδειο ab αιδεομαι.
514. Και. Versus a multis damnatur.
525. επεκλωσαντο. fato dederunt: Verbum in Odysseâ occurrit.
526. αυτοι δε τ' ακηδεες εισι. ipsi verò etiam sine curâ sunt: id est, nihil mali patiuntur; non dicit Achilles, Deos rebus humanis non intervenire. Nihil in animo magis fixum habuit Poeta per totum poema, quam ut omnia divinâ Providentiâ regi doceret.

Δωρων, οἱα διδωσι· κακων, ἑτερος δε τ' εαων.
Ὡι μεν καμμιξας δωῃ Ζευς τερπικεραυνος,
Αλλοτε μεν τε κακῳ ὀγε κυρεται, αλλοτε δ' εσθλῳ·
Ὡι δε κε των λυγρων δωῃ, λωβητον εθηκε·
Και ϝε κακη βουβρωστις επι χθονα διαν ελαυνει·
Φοιτᾷ δ' ουτε Θεοισι τετιμενος, ουτε βροτοισιν.
Ὡς μεν και Πηληϊ Θεοι δοσαν αγλαα δωρα
Εκ γενετης· παντας γαρ επ' ανθρωπους εκεκαστο
Ολβῳ τε, πλουτῳ τε, ϝανασσε δε Μυρμιδονεσσι,
Και ϝοι θνητῳ εοντι Θεαν ποιησαν ακοιτιν.
Αλλ' επι και τῳ θηκε Θεος κακον, ὁρα ϝοι ουτι
Παιδων εν ϝμεγαροισι γονη γενετο κρειοντων,
Αλλ' ἑνα παιδα τεκεν παναωριον· ουδε νυ τονγε
Γηρασκοντα κομιζω, επει μαλα τηλοθι πατρης
Ἡμαι ενι Τροϊῃ, σε τε κηδων, ηδε σα τεκνα.
Και σε, γερον, το πριν μεν ακουομεν ολβιον ειναι,
Ὁσσον Λεσβος ανω, Μακαρος ἑδος, εντος εεργει,
Και Φρυγιη καθυπερθε, και Ἑλλησποντος απειρων·
Των σε, γερον, πλουτῳ τε και υἱασι ϕασι κεκασθαι.
Αυταρ επει τοι πημα τοδ' ηγαγον Ουρανιωνες,
Αιει τοι περι ϝαστυ μαχαι τ' ανδροκτασιαι τε·
Ανσχεο, μηδ' αλιαστον οδυρεο σον κατα θυμον.
Ου γαρ τι πρηξεις ακαχημενος υἱος εηος,
Ουδε μιν ανστησεις, πριν και κακον αλλο παθησθα.
Τον δ' ημειβετ' επειτα γερων, Πριαμος θεοϝειδης·

---

528. ἑτερος δε τ' εαων. alter verò etiam bonorum: Ita Bentleius, et in Ω. 526, 530; vulgò, ἑτερος δε εαων. Forsitan, κακων εἰς, αλλος εαων.

530. κακῳ ὀγε κυρεται. malo is incidit: Ψ. 821.

532. βουβρωστις. calamitas: quæ hominem valde edat.

540. παναωριον. omnino intempestivum: ab ὡρα.

544. Ὁσσον Λεσβος ανω. Quantum Lesbos suprà, Macaris sedes, intus continet: id est, per totam illam regionem. Priami imperium a Caico fluvio ad Æsepum extendebatur, et gentes octo continebat. Strabo, L. xiii. Macar Crinaci filius erat, et Lesbum condidit. Schol.

550. Ου γαρ. Ita Euripides. Τολμα δ'· ου γαρ αναξεις ποτ' ενερθεν Κλαυτους φθιμενους ανω. Knightius tamen duos versus damnat.

Μη με πω ες θρονον ἱζε, Διοτρεφες, ὁρα κεν Ἑκτωρ
Κειται ενι κλισιηθιν ακηδης· αλλα ταχιστα
Λυσον, ἱν' οφθαλμοισι ϝιδω· συ δε δεξαι αποινα
Πολλα, τα τοι φερομεν· συ δε τωνδ' απονaιο, και ελθοις
Σην ες πατριδα γαιαν, επει με πρωτον εϝασας,
Αυτον τε ζωειν, και ὁρᾶν ϝαος Ηελιοιο.
Τον δ' αρ ὑποδρα ϝιδων προσεφη ποδας ωκυς Αχιλλευς·
Μηκετι νυν μ' ερεθιζε, γερον· νοεω δε και αυτος
Ἑκτορα τοι λυσαι· Διοθεν δε μοι αγγελος ηλθε,
Μητηρ, ἡ μ' ετεκεν, θυγατηρ ἁλιοιο γεροντος.
Και δε σε γιγνωσκω, Πριαμε, ϝρεσιν, ουδε με ληθεις,
Ὁϝρα Θεων τις σ' ηγε θοας επι νηας Αχαιων·
Ου γαρ κεν τλαιη ϐροτος ελθεμεν, ουδε μαλ' ἡϐῶν,
Ες στρατον· ουδ' αρα κεν ϕυλακους λαθοι, ουδε κ' οχηας
Ϝρεια μετοχλισσειε θυραων ἡμετεραων.
Τῳ νυν μη μοι μαλλον εν αλγεσι θυμον ορινῃς,
Μη σε, γερον, ουδ' αυτον ενι κλισιηθιν εϝασω,
Κτας, ἱκετην περ εοντα, Διος δ' αλιτωμαι εϕετμας.
Ὡς εϕατ'· εδδεισεν δ' ὁ γερων, και επειθετο μυθῳ.
Πηλεϊδης δε δομοιο, λεων ὡς, αλτο θυραζε,
Ουκ οιος· ἁμα τῳγε δυω θεραποντες ἑποντο,
Ἡρως Αυτομεδων τε και Αλκιμος, οὑς ϝρα μαλιστα
Τι' Αχιλευς ἑταϝρων, μετα Πατροκλον γε θανοντα.
Οἱ τοθ' ὑπο ζυγοφιν λυον ἱππους, ἡμιονους τε,
Ες δ' αγαγον κηρυκα καλητορα τοιο γεροντος·

---

555. συ δε δεξαι αποινα Πολλα, τα τοι φερομεν. tu verò accipe pretia Multa, quæ tibi ferimus: Knightius hæc omittit, et nescio quà incuriâ versum septempedalem efficit. Idem versum 558 omittit. Alii versus 556, 557, et 558 damnant.

569. Κτας, ἱκετην περ εοντα. Occidens, supplicem licèt existentem: Ita, κατακτας, N. 696. Vulgò, Και ἱκετην· sed και ante vocalem produci nequit, A. 79, et κτας sensu desideratur, ut, Ω. 586. Hesychius videtur Κτᾶν pro Κταναι legisse, et Eustathius κτεινaι desiderari monet; Scholiastes ζῶντα supplet; sed vide A. 88.

572. Πηλεϊδης δε δομοιο. Achilles verò e domu: Ita Ω. 673; vulgò, δ' οικοιο, quod in digamma peccat. Bentleius, θρονοιο, ut Ω. 515.

577. καλητορα. vocatorem: a καλεω. Vox non alibi occurrit.

Καδδ' επι διφροφιν εἰσαν· εϋξεστου δ' απ' απηνης
Ἡιρεον Ἑκτορεης κεφαλης απερεισι' αποινα.
Καδδ' ελιπον δυο φαρε', εϋγνητον τε χιτωνα,
Ὁφρα νεκυν πυκασας δοιη ροικονδε φερεσθαι.
Δμωας δ' εκκαλεσας λοεσαι κελετ', αμφι τ' αλειψαι,
Νοσφιν αειρασας, ὡς μη Πριαμος ϝιδοι υἱον·
Μη ὁ μεν αχνυμενῃ κραδιῃ χολον ου ϝερυσαιτο,
Παιδα ϝιδων, Αχιλῆϊ δ' ορινθειη φιλον ητορ,
Και ϝε κατακτεινειε, Διος δ' αλιτηται εφετμας.
Τον δ' επει ουν δμωαι λοεσαν, και χρισαν ελαιῳ,
Αμφι δε μιν φαρος καλον βαλον, ηδε χιτωνα,
Αυτος τονγ' Αχιλευς λεχεων επεθηκεν αειρας,
Συν δ' ἑταϝροι ηειραν εϋξεστην επ' απηνην.
Ωιμωξεν τ' αρ επειτα, φιλον δ' ονομηνεν ἑταϝρον·
Μη μοι, Πατροκλε, σκυδμαινεμεν, αι κε πυθηαι,
Ειν Αϊδος περ εων, ὁϝρ' Εκτορα διον ελυσα
Πατρι φιλῳ· επει ου μοι αϝεικεα δωκεν αποινα·
Σοι δ' αυ εγω και τωνδ' αποδασσομαι, ὁσσα ϝεροικεν.
Η ϝρα, και ες κλισιην παλιν ηϊε διος Αχιλλευς·
Ἑζετο δ' εν κλισμῳ πολυδαιδαλῳ, ενθεν ανεστη,
Τοιχου του ἑτερου, προτι δε Πριαμον φατο μυθον·
Υἱος μεν δη τοι λελυται, γερον, ὡς εκελευες·
Κειται δ' εν λεχεεσσ', ἁμα δ' Ηοϊ φαινομενηθιν
Οψεαι αυτος αγων· νυν δε μνησωμεθα δορπου.
Και γαρ τ' ηϋκομος Νιοβη εμνησατο σιτου,
Τη περ δωδεκα παιδες ενι μεγαροισιν ολοντο,
Ἑξ μεν θυγατερες, ἑξ δ' υἱες ἡβαοντες·
Τους μεν Απολλων πεφνεν απ' αργυρεοιο βιοιο,
Χωομενος Νιοβῃ, τας δ' Αρτεμις ιοχεαιρα,

---

584. Μη. Knightius tres versus damnat, ut et 594 et 595.

586. αλιτηται. offendat: Optativus desideratur; forsitan igitur, ἁλιωσαι, legendum, et, ἁλιωσω, Ω. 570.

593. ὁϝρα. quòd sanè: Vulgò, ὁτι· vide A. 56, 244. Bentleius, ὁ τ' αρ.

595. ὁσσα ϝεροικεν. quanta decet: Vulgò, ὁσσ' επεοικεν· Δ. 341.

608. Φη δοιω τεκεειν. Knightius decem versus damnat, quia hanc fabu-

Οὐνεκ' ἀρα Λητοι ϝισασκετο καλλιπαρηῳ.
Φη δοιω τεκεειν, ἡ δ' αυτη γεινατο πολλους·
Τω δ' ἀρα, και δοιω περ εοντ', απο παντας ολεσσαν.
Οἱ μεν ἀρ εννημαρ κεατ' εν φονῳ, ουδε τις ηεν
Κατθαψαι· λαους δε λιθους ποιησε Κρονιων·
Τους δ' ἀρα τῃ δεκατῃ θαψαν Θεοι Ουρανιωνες.
Ἡ δ' ἀρα σιτου μνησατ', επει καμε δακρυχεουσα.
Νυν δε που εν πετρῃσιν, εν ουρεσιν οιοπολοισιν,
Εν Σιπυλῳ, ὀθι φασι Θεαων εμμεναι ευνας
Νυμφαων, αἱ τ' αμφ' Αχελωον επεϝρωσαντο,
Ενθα, λιθος περ εουσα, Θεων εκ κηδεα πεσσει.
Αλλ' αγε δῃ και νωϊ μεδωμεθα, διε γεραιε,
Σιτου, επειτα κεν αυτε φιλον παιδα κλαιοισθα,
Γιλιον εισαγαγων· πολυδακρυτος δε τοι εσται.
Η, και αναϊξας οϊν αργυφον ωκυς Αχιλλευς
Σφαξ'· ἑταϝροι δ' εδερον τε και αμφεπον ευ κατα κοσμον,
Μιστυλλον τ' αρ επισταμενως, πειραν τ' οβελοισιν,
Ωπτησαν τε περιφραδεως, ϝερυσαντο τε παντα.
Αυτομεδων δ' ἀρα σιτον εϝλων επενειμε τραπεζῃ
Καλοις εν κανεοισιν· αϝαρ κρεα νειμεν Αχιλλευς.
Οἱ δ' επ' ονειαθ' ἑτοιμα προκειμενα χειρας ιαλλον.
Αυταρ επει ποσιος και εδητυος εξ ερον ἑντο,
Ητοι Δαρδανιδης Πριαμος θαυμαζ' Αχιλῆα,
Ὁσσος εεν, οἷος τε· Θεοισι γαρ αντα ϝεϝοικει.
Αυταρ Δαρδανιδην Πριαμον θαυμαζεν Αχιλλευς,
Εισοροων οψιν τ' αγαθην, και μυθον ακουων.
Αυταρ επει ταρπησαν ες αλληλους ὁροωντες,
Τον προτερος προσεϝειπε γερων, Πριαμος θεοϝειδης·
Λεξον νυν με ταχιστα, Διοτρεϕες, ὁϝρα κεν ηδη

Iam Homero ignotam censeat. Antiqui versus tantùm 614, 615, 616, et 617 damnabant.

616. αμφ' Αχελωον επεϝρωσαντο. circum Acheloum admovebantur: id est, ad cantum, aut citharam. Ita A. 529, Od. υ. 107, et Hesiodus de Musis, επεϝρωσαντο δε ποσσιν, Theogon. 8. Vulgò, αμφ' Αχελωϊον ερϝωσαντο· sed Αχελωϊος adjectivus est, Φ. 194. Alii quidem Αχιλῆϊον legunt; fluvius Achiles in Lydiâ erat. Potuit etiam, Αχελωοθιν, scripsisse. Vide Β. 461, 751.

Καδδ' επι διφροφιν εἱσαν· εϋξεστου δ' απ' απηνης
Ἡιρεον Ἑκτορεης κεφαλης απερεισι' αποινα.
Καδδ' ελιπον δυο φαρε', εϋγνητον τε χιτωνα,
Ὀφρα νεκυν πυκασας δοιη ϝοικονδε φερεσθαι.
Δμωας δ' εκκαλεσας λοεσαι κελετ', αμφι τ' αλειψαι,
Νοσφιν αειρασας, ὡς μη Πριαμος ϝιδοι υἱον·
Μη ὁ μεν αχνυμενῃ κραδιῃ χολον ου ϝερυσαιτο,
Παιδα ϝιδων, Αχιλῆϊ δ' ορινθειη φιλον ητορ,
Και ϝε κατακτεινειε, Διος δ' αλιτηται εφετμας.
Τον δ' επει ουν δμωαι λοεσαν, και χρισαν ελαιῳ,
Αμφι δε μιν φαρος καλον βαλον, ηδε χιτωνα,
Αυτος τονγ' Αχιλευς λεχεων επεθηκεν αειρας,
Συν δ' ἑταϝροι ηειραν εϋξεστην επ' απηνην.
Ωιμωξεν τ' αρ επειτα, φιλον δ' ονομηνεν ἑταϝρον·
Μη μοι, Πατροκλε, σκυδμαινεμεν, αι κε πυθηαι,
Ειν Αϊδος περ εων, ὁϝρ' Εκτορα διον ελυσα
Πατρι φιλῳ· επει ου μοι αϝεικεα δωκεν αποινα·
Σοι δ' αυ εγω και τωνδ' αποδασσομαι, ὁσσα ϝεοικεν.
Η ϝρα, και ες κλισιην παλιν ηϊε διος Αχιλλευς·
Ἑζετο δ' εν κλισμῳ πολυδαιδαλῳ, ενθεν ανεστη,
Τοιχου του ἑτερου, προτι δε Πριαμον φατο μυθον·
Υἱος μεν δη τοι λελυται, γερον, ὡς εκελευες·
Κειται δ' εν λεχεεσσ', ἁμα δ' Ηοϊ φαινομενηθιν
Οψεαι αυτος αγων· νυν δε μνησωμεθα δορπου.
Και γαρ τ' ηϋκομος Νιοβη εμνησατο σιτου,
Τη περ δωδεκα παιδες ενι ϝμεγαροισιν ολοντο,
Ἑξ μεν θυγατερες, ἑξ δ' υἱες ἡβαοντες·
Τους μεν Απολλων πεφνεν απ' αργυρεοιο βιοιο,
Χωομενος Νιοβῃ, τας δ' Αρτεμις ιοχεαιρα,

---

584. Μη. Knightius tres versus damnat, ut et 594 et 595.

586. αλιτηται. offendat: Optativus desideratur; forsitan igitur, ἁλιωσι, legendum, et, ἁλιωσω, Ω. 570.

593. ὁϝρα. quòd sanè: Vulgò, ὁτι· vide A. 56, 244. Bentleius, ὁ τ' ἁϕ.

595. ὁσσα ϝεϝοικεν. quanta decet: Vulgò, ὁσσ' επεοικεν· Δ. 341.

608. Φη δοιω τεκεειν. Knightius decem versus damnat, quia hanc fabu-

Οὕνεκ' ἄρα Λητοι ϝισασκετο καλλιπαρηῳ.
Φη δοιω τεκεειν, ἡ δ' αὐτη ϝεινατο πολλους·
Τῳ δ' ἀρα, και δοιῳ περ ἐοντ', ἀπο παντας ὀλεσσαν.
Οἱ μεν ἀρ ἐννημαρ κεατ' ἐν φονῳ, οὐδε τις ἠεν
Κατθαψαι· λαους δε λιθους ποιησε Κρονιων·
Τους δ' ἀρα τῃ δεκατῃ θαψαν Θεοι Ουρανιωνες.
Ἡ δ' ἀρα σιτου μνησατ', ἐπει καμε δακρυχεουσα.
Νυν δε που ἐν πετρῃσιν, ἐν ουρεσιν οιοπολοισιν,
Ἐν Σιπυλῳ, ὀθι φασι Θεαων ἐμμεναι ευνας
Νυμφαων, αἱ τ' ἀμφ' Ἀχελωον ἐπεϝρωσαντο,
Ἐνθα, λιθος περ ἐουσα, Θεων ἐκ κηδεα πεσσει.
Ἀλλ' ἀγε δῃ και νωϊ μεδωμεθα, διε γεραιε,
Σιτου, ἐπειτα κεν αὐτε φιλον παιδα κλαιοισθα,
Ϝιλιον εἰσαγαγων· πολυδακρυτος δε τοι ἐσται.
Ἡ, και ἀναϊξας οἰῦ ἀργυφον ὠκυς Ἀχιλλευς
Σφαξ'· ἑταῖροι δ' ἑδερον τε και ἀμφεπον ἐυ κατα κοσμον,
Μιστυλλον τ' ἀρ ἐπισταμενως, πειραν τ' ὀβελοισιν,
Ὠπτησαν τε περιφραδεως, ϝερυσαντο τε παντα.
Αὐτομεδων δ' ἀρα σιτον ἐϝλων ἐπενειμε τραπεζῃ
Καλοις ἐν κανεοισιν· ἀϝαρ κρεα νειμεν Ἀχιλλευς.
Οἱ δ' ἐπ' ὀνειαθ' ἑτοιμα προκειμενα χειρας ἰαλλον.
Αὐταρ ἐπει ποσιος και ἐδητυος ἐξ ἐρον ἑντο,
Ἠτοι Δαρδανιδης Πριαμος θαυμαζ' Ἀχιλῆα,
Ὁσσος ἐεν, οἷός τε· θεοισι ϝαρ αὐτα ϝεϝοικει.
Αὐταρ Δαρδανιδην Πριαμον θαυμαζεν Ἀχιλλευς,
Εἰσοροων οψιν τ' ἀγαθην, και μυθον ἀκουων.
Αὐταρ ἐπει ταρπησαν ἐς ἀλληλους ὁρωντες,
Τον προτερος προσεϝειπε γερων, Πριαμος θεοϝειδης·
Λεξον νυν μοι ταχιστα, Διοτρεφες, ὄϝρα κεν ἠδη

---

lam Homero ignotam censeat. Antiqui versus tantùm 614, 615, 616, et 617 damnabant.

616. ἀμφ' Ἀχελωον ἐπεϝρωσαντο. circum Acheloum admovebantur: id est, ad cantum, aut citharam. Ita A. 529, Od. υ. 107, et Hesiodus de Musis, ἐπεϝρωσαντο δε ποσσιν, Theogon. 8. Vulgò, ἀμφ' Ἀχελωϊον ἐρϝωσαντο· sed Ἀχελωϊος adjectivus est, Φ. 194. Alii quidem Ἀχιληϊον legunt; fluvius Achiles in Lydiâ erat. Potuit etiam, Ἀχελωσθιν, scripsisse. Vide B. 461, 751.

Ὑπνῳ ὑπο γλυκερῳ ταρπωμεθα κοιμηθεντες·
Ου γαρ πω μυσαν οσσε κατα βλεφαροισιν εμοισιν,
Εξ οὑ σῆς ὑπο χερσιν εμος παϊς ωλεσε θυμον·
Αλλ᾽ αιει στεναχω και κηδεα μυρια πεσσω,
Αυλης εν χορτοισι κυλινδομενος κατα κοπρον. 640
Νυν δη και σιτου πασαμην, ηδ᾽ αιθοπα ϝοινον
Λαυκανιης καθεηκα· παρος γε μεν ουτι πεπασμην.
Η ῥ᾽· Αχιλευς δ᾽ ἑταϝροισιν, ιδε δμωῆσι κελευσε,
Δεμνι᾽ ὑπ᾽ αιθουσῃ θεμεναι, και ϝρηγεα καλα
Πορφυρε᾽ εμβαλεειν, στορεσαι τ᾽ εφυπερθε ταπητας, 645
Χλαινας τ᾽ ενθεμεναι ϝουλας καθυπερθε ϝεσασθαι.
Αἱ δ᾽ ισαν εκ ϝμεγαροιο, δαος μετα χερσιν εχουσαι·
Αιψα δ᾽ αρ εστορεσαν δοιω λεχε᾽ εγκονεουσαι.
Τον δ᾽ επικερτομεων προσεφη ποδας ωκυς Αχιλλευς·
Εκτος μεν δη λεξο, γερον φιλε· μη τις Αχαιων 650
Ενθαδ᾽ επελθησιν βουληφορος, οἵ τε μοι αιει
Βουλας βουλευουσι παρημενοι, ἠ θεμις εστι·
Των ει τις σε ϝιδοιτο θοην δια νυκτα μελαιναν,
Αυτικα κεν ϝειποι Αγαμεμνονι ποιμενι λαων,
Και κεν αναβλησις λυσιος νεκροιο γενηται. 655
Αλλ᾽ αγε μοι τοδε ϝειπε, και ατρεκεως καταλεξον,
Ποσσημαρ μεμονας κτερεϊζεμεν Ἕκτορα διον,
Ὁϝρα τεος αυτος τε μενω, και λαον εϝρυκω.
Τον δ᾽ ημειβετ᾽ επειτα γερων, Πριαμος θεοϝειδης·
Ει μεν δη μ᾽ εθελεις τελεσαι ταφον Ἕκτορι διῳ, 660
Ὧδε κε μοι ϝρεζων, Αχιλευ, κεχαρισμενα θειης.
Ϝοισθα γαρ, ὡς κατα ϝαστυ ϝεϝελμεθα, τηλοθι δ᾽ ὑλη

---

637. Ου γαρ πω μυσαν οσσε κατα. Nunquam enim occlusi sunt oculi ciliis meis: Ita, κατα συφεισιν εεργνυ· et Hesychius καταμυσον, et καταμεμυκε habet; vulgò, ὑπο, contra metrum. Potuit etiam, Ουδε πω οσσε μεμικεν scripsisse. Forsitan, ϝμυσαν· Ω. 420.

641. ηδ᾽ αιθοπα ϝοινον. et lucidum vinum: vel, και ϝηδεα ϝοινον. Vulgò, και αιθοπα οινον· vide A. 79.

657. Ὁϝρα τεος. Ut eousque: Vulgò, Οφρα τεως· sed τεος, pro ες το ponitur; A. 193, P. 727.

662. ϝεϝελμεθα. cogimur: a ϝειλεω, Λ. 409.

Αξεμεν εξ ορεος· μαλα δε Τρωες δεδιασιν.
Εννημαρ μεν κ' αυτον ενι μεγαροις γοαοιμεν,
Τη δεκατη δε κε θαπτοιμεν, δαινυτο τε λαος·
Ενδεκατη δε κε τυμβον επ' αυτω ποιησαιμεν·
Γη δε δυωδεκατη πολεμιξομεν, ει περ αναγκη.
Τον δ' αυτε προσεφειπε ποδαρκης διος Αχιλλευς·
Εσται τοι και ταυτα, γερον Πριαμ', ως συ κελευεις.
Σχησω γαρ τοσσον πολεμον χρονον, οσσον ανωγας.
Ως αρα φωνησας, επι καρπω χειρα γεροντος
Ελαβε δεξιτερην, μη πως δεισει' ενι θυμω.
Οι μεν αρ εν προδομω δομου αυτοθι κοιμησαντο
Κηρυξ και Πριαμος, πυκινα φρεσι μηδε' εχοντες·
Αυταρ Αχιλλευς ευδε μυχω κλισιης εϋπηκτου·
Τω δ' αρ Βρισηϊς παρελεξατο καλλιπαρηος.
Αλλοι μεν ρα Θεοι τε και ανερες ιπποκορυσται
Ευδον παννυχιοι, μαλακω δεδμημενοι υπνω·
Αλλ' ουχ Ερμειην εριουνιον υπνος εμαρπτεν,
Ορμαινοντ' ανα θυμον, οπως Πριαμον βασιληα
Νηων εκπεμψειε, λαθων ιερους πυλαωρους.
Στη δ' αρ υπερ κεφαλης, και μιν προς μυθον εφειπεν·
Ω γερον, ου νυ τι σοιγε μελει κακον· οιον εθ' ευδεις
Ανδρασιν εν δαϊοισιν, επει σ' ειασεν Αχιλλευς·
Και νυν μεν φιλον υιον ελυσαο, πολλα δ' εδωκας·
Σειο δε κεν ζωου και τρις τοσα δοιεν αποινα
Παιδες τοι μετοπισθε λελειμμενοι, αι κ' Αγαμεμνων
Γνοιη σ' Ατρειδης, γνωωσι δε παντες Αχαιοι.
Ως εφατ'· εδδεισεν δ' ο γερων, κηρυκα δ' ανιστη·

---

663. δεδιασι. timent: δεδριασι fuisse opinor; alibi enim passim primam producit, ut κ. 93; vide α. 33, 555.

665. δαινυτο δε λαος. epulareturque populus: Optativus est medius a δαινυμι, ut θειμην a τιθημι.

672. δεισειε. timeret: Ita MSS. duo; alii, δειση.

688. Γνοιη, γνωωσι. Sciret, scibunt: Agamemnone enim sciente, scibunt omnes. MSS. nonnulli, Γνωη. Sed ita modi mutantur, γ. 52, et alibi. Heynius utrumque usu probatum dicit.

Τοισιν δ' Ἑρμειας ζευξ' ἵππους, ἠμιονους τε·
Γριμφα δ' αρ αυτος ελαυνε κατα στρατον, ουδε τις εγνω.
Ἀλλ' ὁτε δη πορον ἵξαν εϋρροφιν ποταμοιο
Ξανθου δινηεντος, ὁν αθανατος τεκετο Ζευς,
Ἑρμειας μεν επειτ' απεβη προς μακρον Ολυμπον.
Ηως δε κροκοπεπλος εκιδνατο πασαν επ' αιαν·
Οἱ δε πολινδ' ελασαν οιμωγῃ τε στοναχῃ τε
Ἵππους, ἠμιονοι δε νεκυν φερον· ουδε τις αλλος
Εγνω προσθ' ανδρων καλλιζωνων τε γυναικων·
Αλλ' αρα Κασσανδρη, ϊκελη χρυσῃ Αφροδιτῃ,
Περγαμον εισαναβασα, φιλον πατερ' εισενοησεν
Ἑσταοτ' εν διφρῳ, κηρυκα τε ϝαστυβοωτην·
Τον δ' αρ εφ' ἠμιονων ϳιδε κειμενον εν λεχεεσσι·
Κωκυσεν τ' αρ επειτα, γεγωνε τε παν κατα ϝαστυ·
Οψεσθε, Τρωες και Τρωαδες, Ἑκτορ' ιοντες,
Ει ποτε και ζωοντι μαχης εκνοστησαντι
Χαιρετ'· επει ϝμεγα χαρμα πολει τ' ην, παντι τε δημῳ.
Ὡς εφατ'· ουδε τις αυτοθ' ενι πτολεϊ λιπετ' ανηρ,
Ουδε γυνη· παντας γαρ ακασχετον ἱκετο πενθος·
Αγχοθι δε ξυμβλητο πυλαων νεκρον αγοντι.
Πρωται τονγ' αλοχος τε φιλη και ποτνια μητηρ
Τιλλεσθην, επ' αμαξαν εϋτροχον αἰξασαι,
Ἁπτομεναι κεφαλης· κλαιων δ' αμφισταθ' ὁμιλος.
Και νυ κε δη προπαν ημαρ ες Ηελιον καταδυντα
Ἑκτορα δακρυχεοντες οδυροντο προ πυλαων,
Ει μη αρ εκ διφροιο γερων λαοισι μετηυδα·
Ϝειξατε μοι, ουρευσι διελθεμεν, αυταρ επειτα

---

695. οἱ δε πολινδ' ελασαν. Ii verò ad urbem agebant: Vulgò, οἱ δ' ις αστυ ελων· sed ελων nusquam iterum occurrit, præter Od. δ. 2.

708. ακασχετον. non reprimendus: Vulgò, ααχετον· vide E. 892.

717. Ασεσθε κλαιοντες. Satiabitis vos flentes: Ita, κορεσσαμεθα κλαιοντι, X. 427; vulgò, κλαιθμοιο, contra metrum. επει κ' αγαγοιμι δομονδε. quoniam ducerem ad domum: αγαγοιμι ad Ϝειξατε referendum. Etym. Magn. αγαγωμι habet, quod Wolfius edidit.

721. οἱ τε στονοεσσαν αοιδην. iique lamentabile carmen Ii quidem sanè lugebant, adgemebant verò mulieres: Pronomen eleganter repetitur ob

Ασεσθε κλαιοντες, επει κ᾽ αγαγοιμι δομονδε.
Ὡς εφαθ᾽· οἱ δε διεστησαν, και ϝειξαν απηνη.
Οἱ δ᾽ επει εισαγαγον κλυτα δωματα, τον μεν επειτα
Τρητοις εν λεχεεσσι θεσαν, παρα δ᾽ εἱσαν αοιδους,
Θρηνων εξαρχους, οἱ τε στονοεσσαν αοιδην
Οἱ μεν αρ εθρηνεον, επι δε στεναχοντο γυναικες.
Τῃσιν δ᾽ Ανδρομαχη λευκωλενος ηρχε γοοιο,
Ἑκτορος ανδροφονοιο καρη μετα χερσιν εχουσα·
Ανερ, απ᾽ αιωνος νεος ωλεο, καδδε με χηρην
Λειπεις εν ϝμεγαροισι· παϊς δ᾽ ετι νηπιος αυτως,
Ὁν τεκομεν συ τ᾽ εγω τε δυσαϝμοροι, ουδε μιν οιω
Ἡβην ἱξεσθαι· πριν ϝαρ πολις ἡδε κατακρης
Περσεται· η ϝαρ ολωλας επισκοπος, ὁς τε μιν αυτην
Ϝρυσκευ, εχες δ᾽ αλοχους κεδνας, και νηπια τεκνα·
Αἱ δη τοι ταχα νηυσιν οχησονται γλαφυρῃσι,
Και δη εγω μετα τῃσι· συ δ᾽ αυ, τεκος, η μεθιν αυτῃ
Ἑψεαι, ενθα κ᾽ αεθλευων αϝεκηλια ϝεργα
Ϝεργασεαι προ ϝανακτος αμειλιχου· η τις Αχαιων
Ϝριψει, χειρος εϝλων, απο πυργου, λυγρον ολεθρον,
Χωομενος· ᾧ δη που αδελϕεον εκτανεν Ἕκτωρ,
Η πατερ᾽, ηε και υἱον· επει μαλα πολλοι Αχαιων
Ἑκτορος εν παλαμῃσιν οδαξ ϝελον ασπετον ουδας.
Ου ϝαρ μειλιχος εσκε πατηρ τεος εν δαϊ λυγρῃ·
Τῳ και μιν λαοι μεν οδυρονται κατα ϝαστυ.
Αϝρητον δε τοκευσι γοον και πενθος εθηκας,
Ἕκτορ, εμοι δε μαλιστα λελειψεται αλγεα λυγρα.
Ου ϝαρ μοι θνησκων λεχεων εκ χειρας ορεξας,

---

secundum sententiæ membrum; ut si, αἱ δε γυναικες, dixerat. Heynius tamen et Knightius versum 721 omittunt. Vatum nomina, secundum Scholiastem, Clitus et Epimedes erant.

723. Τῃσιν. Heynius et Knightius versus quatuor et quinquaginta damnant.

733. ενθα κ᾽ αεθλευων αϝεκηλια ϝεργα Ϝεργασεαι. ubi tum certans irrequieta opera Operabis ante dominum immitem: Vulgò, ενθα κεν εργα αεικεα εργαζοιο Αεθλευων, quod omnimodis in metrum peccat.

736. ᾧ δη που. cui sanè alicubi: Alii malè, ᾧ τινι δη που.

Ουδε τι μοι ϝειπες πυκινον ϝεπος, οὐ τε κεν αιει
Μεμνημην νυκτας τε και ημαρ δακρυχεουσα.
Ὡς εφατο κλαιουσ᾽· επι δε στεναχοντο γυναικες.
Τῃσιν δ᾽ αυθ᾽ Ἑκαβη αδινου εξηρχε γοοιο·
Ἕκτορ, εμῳ θυμῳ παντων πολυ φιλτατε παιδων,
Ἠ μεν μοι, ζωος περ εων, φιλος ησθα Θεοισιν,
Οἱ δ᾽ αρα σευ κηδοντο και εν θανατοιο περ αισῃ·
Αλλους μεν γαρ παιδας εμους ποδας ωκυς Αχιλλευς
Περνασχ᾽, ὁντιν᾽ εϝλεσκε, περην ἁλος ατρυγετοιο,
Ες Σαμον, ες τ᾽ Ιμβρον, και Λημνον αμιχθαλοεσσαν·
Σευ δ᾽ επει εκϝελετο ψυχην ταναηκεϊ χαλκῳ,
Πολλα ϝρυσταζεσκεν εϝου περι σημ᾽ ἑταϝροιο,
Πατροκλου, τον επεφνες· ανεστησεν δε μιν ουδ᾽ ὡς.
Νυν δε τ᾽ εερσηεις και προσφατος εν ϝμεγαροισι
Κεισαι, τῳ ϝικελος, ὁν τ᾽ αργυροτοξος Απολλων
Ϝοις αγανοις βελεεσσιν εποιχομενος κατεπεφνεν.
Ὡς εφατο κλαιουσα, γοον δ᾽ αλιαστον ορινε.
Τῃσι δ᾽ επειθ᾽ Ἑλενη τριτατη εξηρχε γοοιο·
Ἕκτορ, εμῳ θυμῳ δαρων πολυ φιλτατε παντων,
Η μεν μοι ποσις εστιν Αλεξανδρος θεοειδης,
Ὅς μ᾽ αγαγε Τροϊηνδ᾽· ὡς πριν γ᾽ ωφελλον ολεσθαι.
Ηδη γαρ νυν μοι τοδ᾽ εϝεικοστον ϝετος εστιν,
Εξ οὐ κειθεν εβην, και εμης απεληλυθα πατρης·
Αλλ᾽ ουπω σευ ακουσα κακον ϝεπος, ουδ᾽ ασυφηλον·
Αλλ᾽ ει τις με και αλλος ενι ϝμεγαροισιν ενιπτοι
Δαρων, η ϝαλοων, η εινατερων εϋπεπλων,
Η ϝεκυρη, ϝεκυρος δε, πατηρ ὡς, ηπιος αιει,
Αλλα συ τονγε ϝεπεσσι παραιφαμενος κατεϝρυκες,

---

753. αμιχθαλοεσσαν. inhospitam: a μιγνυμι, et ἁλς, sal.

755. Πολλα ϝρυσταζασκεν. Multa traxit: Locus digamma postulat.

757. Νυν μοι εερσηεις και προσφατος. Nunc mihi roscidus et affabilis: Vulgò, Νυν δε μοι ἐρσηεις· sed vox εερσα est, Λ. 53, Ξ. 348. Alii, προσφατος, recenter occisus.

Σῃ τ' ἀγανοφροσυνῃ, καὶ σοις ἀγανοις ϝεπεεσσι.
Τῷ σε θ' ἁμα κλαιω, καὶ ἐμ' ἀϝμορον, ἀχνυμενη κῆρ·
Ου γαρ τις μοι ετ' ἀλλος ενι Τροϊῃ ευρειῃ
Ηπιος, ουδε ϕιλος· παντες δε με πεϕρικασιν.
Ὡς ἐϕατο κλαιουσ'· ἐπι δ' εστενε δημος ἀπειρων.
Λαοισιν δε γερων Πριαμος μετα μυθον ἐϝειπεν·
Αξετε νυν, Τρωες, ξυλα ϝαστυδε, μηδε τι θυμῳ
Δεισεσθ' Αργειων πυκινον λοχον· η γαρ Αχιλλευς
Πεμπων μ' ὡδ' ἐπετελλε μελαιναων ἀπο νηων,
Μη πριν πημανεειν, πριν δωδεκατη μολῃ Ηως.
Ὡς ἐϕαθ'· οἱ δ' ὑπ' ἀμαξῃσιν βοας, ἡμιονους τε,
Ζευγνυσαν· αιψα δ' ἐπειτα προ ϝαστεος ηγερεθοντο.
Εννημαρ μεν τοιγ' ηγινεον ἀσπετον ὑλην·
Αλλ' ὁτε δη δεκατη ἐϕανη ϕαεσιμβροτος Ηως,
Και τοτ' ἀρ ἐξεϕερον θρασυν Ἕκτορα δακρυχεοντες·
Εν δε πυρῃ ὑπατῃ νεκρον θεσαν, εν δ' ἐβαλον πυρ.
Ημος δ' ηριγενεια ϕανῃ ϕροδοδακτυλος Ηως,
Τημος ἀρ ἀμϕι πυρην κλυτου Ἕκτορος ἐγρετο λαος.
Αυταρ ἐπει ϝρ' ἠγερθεν, ὁμηγερεες τ' ἐγενοντο,
Πρωτον μεν κατα πυρκαϊην σβεσαν αιθοπι ϝοινῳ
Πασαν, ὁποσσον ἐπεσχε πυρος μενος· αυταρ ἐπειτα
Οστεα λευκα λεγοντο κασιγνητοι τε, ϝεται τε,
Μυρομενοι, θαλερον δε κατειβετο δακρυ παρειων.
Και ταγε χρυσειην ες λαρνακα θηκαν ἐϝλοντες,
Πορϕυρεοις πεπλοισι καλυψαντες μαλακοισιν·
Αιψα δ' ἀρ ες κοιλην καπετον θεσαν· αυταρ ὑπερθε
Πυκνοισιν λαεσσι κατεστορεσαν ϝμεγαλοισι.
Ϝριμϕα δε σημ' ἐχεαν, περι δε σκοποι εἱατο παντη,

---

762. δαρων. levirorum: ut, θυγατρων pro θυγατερων, et ανδρων pro ανερων· vulgò, δαερων· sed δαηρ primam syllabam in locis quinque producit. Ita Ω. 769.

784. ηγινεον. ducebant: Ita Σ. 492. Vulgò, τοιγε αγινεον.

794. κασιγνητοι τε, ϝεται τε. fratresque, æqualesque: Ita Ζ. 239, Π. 456, 674. Vulgò, κασιγνητοι, ἑταροι τε.

Μη πριν εφορμηθειεν εϋκνημιδες Αχαιοι. 800
Χευαντες δε το σημα, παλιν κιον· αυταρ επειτα
Ευ συναγειραμενοι, δαινυντ' ερικυδεα δαιτα,
Δωμασιν εν Πριαμοιο Διοτρεφεος βασιληος.
Ὡς οἱγ' αμφεσπον ταφον Ἑκτορος ἱπποδαμοιο.

---

801. Χευαντες. Fundentes: Tumulus enim terrâ effusâ aggerebatur. Forma antiqua Χεϝσαντες esset; r. 270. De pronunciatione literæ ϝ vel digamma magna est inter viros doctos opinionum diversitas. Dawesius similem literæ nostræ w fuisse censet; cùm tamen hic sonus plerisque gentibus, aut ignotus, aut parum usitatus sit, haud facilè ei assentio. Alii, ut v pronunciatam fuisse censent; multæ enim voces Latinæ a Græcis ortæ per hanc literam efferuntur, ut, vis, vicus, vinum, et Græci hodierni diphthongus αυ, ευ, ου, av, ev, et, ov, pronunciant. Voces insuper pleræque Latinæ, quæ literam f assumunt, literam φ in linguâ Græcâ retinent. Nobis tamen, ut in cæteris literis, sonum sequendum esse opinor, quem forma indicat, isque meis saltem auribus gratior est. Soni cognati sunt, et sæpe inter se mutantur. Forsitan utrumque obtinebat; ita ut f ante ρ, et in initio vocum, et v post vocalem pronunciaretur. Vide Marsh. Hor. Pelasg.

804. αμφεσπον. circum ministrabant, vel, αμφι ταφον ἱπον· vulgò, αμφι ἱπον· vide B. 525.

INDEX GRÆCUS.

ααφατος, Ξ. 271.
ααπτος, Θ. 450.
Αβιοι, N. 6.
αβλητα, Δ. 117.
αβληχρη, E. 337.
αβρομοι, N. 41.
αβροταζω, K. 65.
αβροτη, Ξ. 78.
αγαλλομαι, B. 462.
αγγελιης, Γ. 206.
Αγελαη, Δ. 128.
αγεληθι, B. 480.
αγκαζομαι, P. 722.
αγκων, Π. 702.
αγλαϊηθι, Z. 510.
αγχοθι, B. 172.
αγχω, Γ. 371.
αγων, H. 298.
αδειης, H. 117.
αδελφεοφι, E. 21.
αδην, E. 203, N. 315.
αδηριτος, P. 42.
αδρον, E. 203.
αδροτητα, Π. 857.
αεθλος, H. 453, I. 124.
αειδω, A. 1.
αεσιφρων, Υ. 183.
αϝαρ, A. 166.
αϝαρτηρος, A. 223.
Αϝατη, A. 412.
αϝατος, E. 388.
αϝαω, I. 116.
αϝεκηλια, Σ. 77, Ω. 733.
αϝεκων, A. 301.
αϝεργος, I. 320.
Αϝις, A. 3.
αϝιστιος, I. 63.
αϝλητος, B. 452.
αϝλοφος, K. 258.
αϝρμαω, Γ. 359.
ἀ ϝρα, A..289, 554.
αϝρητος, B. 490.
Αϝρης, B. 110, 479.
αϝρητος, P. 37.
αζαλεῃ, Λ. 155.
αζηχες, Δ. 435.
αθεριζω, A. 261.
Αθηναιη, A. 221.
αιγιλιπος, Π. 4.
Αιγιοχος, A. 202.
Αιγυπτιας, I. 382.
αιδοια, B. 262.
Αιθιοπηες, A. 423.
αιθοψ, A. 462.
αιθρηγενεος, O. 171.
αιθων, Θ. 185.
αἰμων, E. 49.
αιτος, A. 552.
αιπος, Θ. 369, N. 625.
αισυητηρ, Ω. 347.
αισψηρος, T. 276.
αϊω, O. 252.
Ακακητα, Π. 185.
ακαλαϝρειταο, H. 422.
ακαματος, E. 4.
ακερσοκομης, Υ. 39.
ακεωμεθα, N. 115.
ακεων, A. 34.
ακηδεσεν, Ξ. 427.
ακηκεδαται, P. 637.
ακιχητα, P. 75.
ακλεης, H. 100, M. 318.
ακμηνος, T. 163.
ακρητος, B. 341.
ακριτομυθος, B. 246.
ακροκελαινιοων, Φ. 249.
Αλαλκομενηϊς, Δ. 8.
αλαστεω, O. 21.
αλευατο, Γ. 360.
Αληϊων, Z. 201, I. 125.
αλιτρος, Θ. 361.
αλκτηρ, Ξ. 485.
αλλοδαπος, Γ. 48.
αλλοιος, E. 638.
ἀλλαμαι, E. 142, Λ. 192, A. 532.
αλλος, A. 299.
ἀλοσυδνιν, Υ. 207.
αλυω, E. 352.
αλφεσιβοια, Σ. 593.
ἀμαλδυνω, H. 463.
αμαξιτος, X. 146.
αμειβοντες, Ψ. 712.
αμειλικτος, Λ. 137.
αμεινων, E. 887.
αμετροϝεπης, B. 212.
αμηχανος, A. 310.
αμμε, A. 59, H. 76.
αμογητις, Λ. 636.
αμολγω, A. 173.
αμυσσω, A. 243.
αμφασιη, P. 695.
αμφηρεφεα, A. 45.
αμφιαχυια, B. 316.
αμφιγυος, N. 147.
αμφιϝελισσαι, B. 165.
αμφιμελαιναι, A. 103.
αμφις, B. 525.
αμφιτεθειμα, K. 271.
αμφω, Γ. 211.
ανα, A. 68, Ω. 455.
αναιδης, N. 139.
ανακουστεω, O. 236.
ανδραποδεσσι, H. 475.
ανεδυνον, I. 146.
ανἧρομαι, Γ. 177.
ανειη, B. 34.
ανεμοτρεφες, Λ. 256.
ανεμωλιος, Δ. 355.
ανερειπω, Υ. 234.
ανερχομενῳ, Δ. 392.
ανεψιοφι, O. 554.
ανηνοθεν, Λ. 266.
ανηρ, B. 216.
Ανθεμιδης, Δ. 488.
ανθερικες, Υ. 227.
ανοϊγω, Ξ. 158, Ω. 455.
αντιανειραι, Γ. 189.
αντιαω, A. 31, 67.
αντιφεριζω, Z. 101.
ανωγω, B. 280.
ανωϊστος, Φ. 39.
αοσσητηρ, O. 254.
απαειρομαι, A. 230.
απαλαμνος, E. 597.
απαμειβομενος, A. 84.
ἁπαντων, E. 470.
απεϝηνιζοντο, K. 572.

απελεθρον, Ε. 245.
απηλεγεως, Ι. 309.
απηλοιησε, Δ. 522.
απινυσσω, Ο. 10.
απλοΐδας, Ω. 230.
απο, Α. 230.
αποβλησω, Ζ. 149.
αποφημι, Α. 356, 430.
αποφριπτω, Ι. 513, Τ. 35.
αποφρωξ, Β. 755.
αποθυμια, Η. 261.
αποκαπυω, Χ. 467.
Απολλων, Α. 14.
απονεεσθαι. Α. 19, Β. 113.
απονησεται, Λ. 762.
αποπαπταινουσιν, Η. 101.
αποσκυδμαινω, Ω. 65.
αποστησονται, Ν. 745.
απτοιεπες, Θ. 209.
αρα, Α. 8, 56, 68, 113, 203, 465, 581.
Αργειφοντης, Β. 103.
αργεσταο, Λ. 306.
αργητι, Γ. 419.
Αργος, Β. 108, 115, Γ. 140.
αργος, Α. 50.
αργυροπεζα, Α. 538.
αργυροτοξος, Α. 37.
αρειη, Ρ. 451.
αρειων, Δ. 407.
αρητηρ, Α. 11.
αριζηλος, Σ. 219.
αριστος, Δ. 260, Λ. 288.
αρκιον, Β. 393.
ἁρπαξας, Γ. 444.
ἁρπη, Τ. 350.
αρχεκακος, Ε. 63.
αρχευω, Β. 345, Ε. 200.
αρχη, Γ. 100.
ασαι, Ε. 289, Λ. 573.
ασκελεως, Τ. 68.
Ασκληπιοφιν, Β. 731.
ασπετος, Γ. 373.
Ασπιδεος, Λ. 753.
ασπιδοθι, Γ. 349.
ασσον, Α. 335, 567.
αστεμφης, Β. 344.
αστραπτων, Β. 353.
αστριν, Ε. 3.
ασυφηλος, Ι. 643.
ασφαραγος, Χ. 328.
αταλλω, Ν. 27.
ατασθαλιησιν, Δ. 409.
ατεμβω, Λ. 704.
ατιτος, Ν. 414.
Ατρεΐδης, Α. 7.
ατρεκεως, Β. 10.
Ατριτωνι, Β. 157.
ατυζομενω, Ζ. 38.
αυ, Α. 532.
αυγαζομαι, Ψ. 458.
αὐἔαχοι, Ν. 41.
αυλων, Ρ. 297.
αὔσε, Λ. 461.
αυταρ, Α. 51.
αυτις, Γ. 36.
αυτιχα, Α. 539.
αυτοθιν, Β. 332.
αυτους, Α. 4.
αυτοχοωσιν, Ψ. 826.
αυτως, Β. 681.
αφιει, Α. 25.
αφλαστον, Ο. 717.
α‡λοισμος, Ο. 607.
αφρεον, Λ. 282.
αφρητωρ, Ι. 63.
αφυσγετος, Λ. 495.
αφυσσω, Α. 171, Χ. 70.
Αχελωος, Φ. 194.
αχερωΐς, Ν. 389.
Αχιλευς, Α. 1, 7.
αχνυμαι, Β. 270.
αχρεια, Β. 269.
αχρις, Δ. 522.
α‡οφροος, Γ. 313.
αωτον, Ν. 599.

βαθυῤῥοος, Ξ. 311, Φ. 195.
βαλλε, Α. 52.
βασιλευς. Α. 9.
βεβηκει, Α. 221.
βεβρυχεν, Ρ. 54.
βεβρωθοις, Δ. 35.
βελος, Α. 51.
βλητρον, Ο. 678.
βλοσυρος, Η. 212.
βλοσυρωπις, Λ. 36.
βλωθρη, Ν. 390.
Βορῃς, Ε. 524, Ι. 5.
βοοωντες, Β. 97.
βοτρυδον, Β. 89.
βουβρωστις, Ω. 532.
βουβων, Δ. 492.
βουγαΐε, Ν. 824.
βουλη, Α. 5.
βουλομαι, Α. 67, 117.
βουλυτονδε, Π. 779.
βους, Α. 154.
βοωπις, Α. 551.
βρεμει, Δ. 425.
βριζω, Δ. 223.
βριηπυος, Ν. 521.
βρυει, Ρ. 56.

γαια, Γ. 104, 243.
γανοωντες, Ν. 265.
γαρ, Α. 123, 581.
γε, Α. 81.
γεγωνως, Θ. 227.
γεφρα, Α. 236.
γελος, Α. 599.
γε μεν, Β. 703.
Γερηνιος, Β. 336.
γηθεω, Θ. 378.
γηρας, Ρ. 197.
Γλαυκωπις, Α. 206.
γλημα, Ω. 192.
γλητη, Θ. 164.
γλουτος, Ε. 66.
γλυκιων, Α. 249.
γλυκυθυμος, Υ. 467.
γλυφιδας, Δ. 122.
γνωη, Α. 411, Ζ. 231, Χ. 382.
γνωτους, Γ. 174.
γοαν, Ζ. 500.

δαηρ, Γ. 180, Ω. 762.
δαιμονιη, Α. 561, Ω. 194
δαΐος, Β. 415.
δαιοω, Δ. 416.
δαιτι, Δ. 259.
δαιτρον, Δ. 262.
δαιω, Ε. 4.
δαμειετε, Η. 72.
δαπεδον, Δ. 2.
δε, Α. 58, 194, 340.
δεδηει, Β. 93.
δεδιασι, Ω. 663.
δεδμηατο, Γ. 183.
δεδοκημενος, Ο. 730.
δεδουποτος, Ψ. 679.
δεΐ, Ι. 337.
δειδεχατο, Δ. 4.
δειδισσω, Β. 190.
δειδοικα, Α. 555.
δειδω, Α. 33.
δειλος, Α. 293, Δ. 155.
Δειμος, Λ. 37.
δεινος, Λ. 10.
Δεισηνωρ, Ρ. 217.
δενδιλλων, Ι. 180.
δεος, Α. 515.
δευομαι, Ρ. 142.
δεχθαι, Α. 23.
δημογερων, Γ. 151.
δηετε, Ι. 418.

57.
, M. 308.
30.
, B. 103.
ω, Ψ. 120.
578.
, Π. 174.
A. 337.
. 126.
747.
, Δ. 472.
, A. 540.
Σ. 576.
M. 148.
B. 686.
ελος, Π. 748.
. 129.

734.
ωρος, B. 692.
θεις, H. 272.
. 172.
A. 33.
Δ. 237.
17.
. 617.
. 348.
B. 374, E. 487.
276, B. 132.
62.
A. 64.
X. 349.
ι, E. 481.
A. 41.
. 154.
A. 407, Γ. 34.
, A. 137.
A. 278, O. 189.
B. 761.
83.
', A. 62.
, A. 192.
A. 553.
Γ. 113.
ι. 141, 190, 216,
.
A. 303.
Γ. 62.
.. 48.
Γ. 140.
536.
, Δ. 483.
θα, A. 202.
ες, Z. 424.
. 193.

εἰφαων, Σ. 531.
εἶσα, A. 306, B. 765.
εἴσομαι, Υ. 454.
εἰσορόωντες, Γ. 224.
εἰυθεν, Θ. 408.
ἑκας, A. 14.
ἑκατεβόλαι, E. 54.
ἐκδυπῆσαν, Λ. 45.
Ἑκηβολος, A. 14.
ἑκατιων, Δ. 508.
ἑκολωα, B. 212.
ἑκομισαι, E. 359.
ἑκταδιη, K. 134.
ἐλεφαιρω, Ψ. 388.
ἐλεφας, Δ. 141.
ἑλκω, B. 152.
Ἕλληνες, B. 684.
ἕλος, Δ. 483.
ἑλοωσι, N. 315.
ἐλυσθη, Ψ. 393.
ἐμβασιλευω, B. 572.
ἐμεω, O. 11.
ἐμπρηθω, A. 481.
ἐνδιτων. Ψ. 806.
ἐνδιοι, Λ. 725.
ἐνι, A. 30.
ἐνικλᾶν, Θ. 408.
ἐνιπη, E. 492.
ἐννεωρος, Σ. 351.
ἐνορχος, Ψ. 147.
ἐντεσιφεργος, Ω. 277.
ἐντροπαλιζομενη, Z. 496.
ἐντυπας, Ω. 163.
ἐνωπη, E. 374.
ἐξ οὐ, A. 6, X. 379.
ἐξαισιος, O. 598.
ἐξεσιη, Ω. 235.
ἐξηλατος, M. 295.
ἐξονομηνῆς, Γ. 166.
ἑομεν, Τ. 402.
ἐπακουσαν, Λ. 137.
ἐπαλμενος, H. 15.
ἐπεβρωσαντο, A. 529, Ω. 616.
ἐπει η, A. 156.
ἐπει κε, A. 168.
ἐπεῖσομαι, Υ. 454.
ἐπεμυξαν, Δ. 20.
ἐπενηνοθε, B. 219.
ἐπευχομενος, B. 411.
ἐπητριμα, Σ. 211.
ἐπιβασκω. B. 234.
ἐπιδευομαι, Ψ. 670.
ἐπιδημιοφι, I. 64.
ἐπιδωσομεθα, K. 463.
ἐπιμιατις, E. 892.

ἐπιστιτις, B. 125.
ἐπιχλιγδην, P. 599.
ἐπιφοσσομαι, P. 381.
ἐπιφρασσω, Ξ. 99.
ἐπιφρεω, B. 754.
ἐπιφροθος, Δ. 390.
ἐπιφρησσεσκον, Ω. 454.
ἐπιθυω, Σ. 175.
ἐπικαρ, Π. 392.
ἐπικιδνηται, B. 850.
ἐπιμασσεται, Δ. 190.
ἐπιπλωσας, Γ. 47.
ἐπιπτεσθαι, Δ. 126.
ἐπισχερω, Λ. 667.
ἐπιτελλω, Δ. 64, 384.
ἐπιτηδες, A. 142.
ἐπλεο, A. 418, Δ. 470.
ἐπλητο, Δ. 449.
ἐπουρος, N. 450.
ἐρεικω, N. 441.
ἐρεψα, A. 39.
ἐρεχθω, Ψ. 317.
ἐριαυχενες, K. 305.
ἐριδμαινω, Π. 260.
ἐριηρος, Γ. 47.
ἐριουνης, Υ. 34.
ἐριτιμοιο, I. 126.
ἑρμα, Ξ. 182.
Ἑρμειας, E. 390.
ἐρος, Γ. 442.
ἐσαγουσα, Z. 252.
ἐσεται, B. 393.
ἐσριδε, Λ. 112.
ἐσπλατο, M. 438.
ἐσθορε, M. 462.
ἑταῖρος, A. 179.
ἐτελειετο, A. 5.
ἐυϝαδην, Ξ. 340.
ἐυεργης, E. 585.
ἐϋγητος, Σ. 596.
ἐϋρειταο, Z. 34.
ἐϋρροφιν, Z. 508.
ἐϋσελμος, B. 170.
ἐυκηλος, A. 554.
ἐυλαι, Τ. 26.
ἐυληρα, Ψ. 481.
ἐυνας, A. 436.
ἐϋξοος, K. 373.
ἐυπρηστος, Σ. 471.
ἐυραξ, Λ. 251.
ἐύρε, Δ. 89.
ἐυρυϝοπα, A. 498.
ἐυρυφρεθρος, Φ. 141.
ἐυρυχορος, B. 498.
ἐϋς, Δ. 491.
ἐϋσκαρθμος, N. 31.

ευτε, A. 242, Γ. 10.
εχευαν, Γ. 270.

ϝαγνυμι, Γ. 367, Ψ. 392.
ϝαδος, A. 88.
ϝαλημεναι, E. 823.
ϝαλις, X. 340, B. 90.
ϝανα, Π. 233.
ϝανακ, A. 7.
ϝανασσα, Ξ. 326.
ϝανασσω, A. 38.
ϝανδανω, A. 24.
ϝαραιος, E. 425.
ϝαρη, M. 334.
ϝαριστον, Ω. 124.
ϝαρνος, A. 66.
ϝαστυ, X. 394.
ϝε, A. 114, 236, 510.
ϝεανος, Γ. 385.
ϝεαρ, Z. 148.
ϝεϝαδηκοτες, K. 98.
ϝεϝαρημενος, Σ. 435.
ϝεϝελμενοι, M. 38.
ϝεϝικτην, A. 104.
ϝεϝικυια, Γ. 386.
ϝεϝοικα, A. 47.
ϝεϝοργα, B. 272.
ϝεθειρα, Θ. 42.
ϝεθιν, E. 270.
ϝεθνος, B. 87.
ϝειαρινος, B. 89.
ϝειδομαι, A. 228.
ϝειδος, Γ. 55.
ϝειδωλον, E. 451.
ϝεικεν, H. 217.
ϝεικω, A. 294.
ϝειλεω, A. 409, B. 294.
ϝειλυαται, M. 286.
ϝειλυφαω, Λ. 156.
ϝειπον, A. 64, 105, 106.
ϝεισαμην, B. 22, 215.
ϝεῖσμω, Γ. 197.
ϝεισομαι, A. 546, 548.
ϝεκαστος, A. 550, B. 127, E. 470.
ϝεκατερθε, Γ. 340.
ϝεκων, Γ. 66.
ϝελικωπις, A. 98.
ϝελιξ, I. 462.
ϝελισσω, A. 317, 530.
ϝελον, A. 137.
ϝελπομαι, A. 545, H. 199.
ϝελσαι, A. 409.
ϝελτο, Θ. 43.
ϝελωρ, A. 4.
ϝεος, A. 533.
ϝεπος, A. 77.
ϝεργαζω, Σ. 469.
ϝεργον, A. 115.
ϝερδον, A. 315.
ϝερεω, A. 76, 62.
ϝερξω, B. 364.
ϝερομαι, A. 332.
ϝερρε, Θ. 164.
ϝερυμα, Δ. 137.
ϝερυσαρματες, O. 354.
ϝερυσιπτολις, Z. 305.
ϝερυω, A. 141.
ϝερων, A. 303.
Fεσπερος, X. 318.
ϝεσπετε, B. 484.
ϝεται, Z. 239.
ϝετος, B. 328.
ϝετωσιος, Γ. 368.
ϝεφιν, E. 61.
ϝεω, A. 149. Γ. 57.
ϝηδος, A. 576.
ϝηδυεπης, A. 248.
ϝηδυμος, B. 2.
ϝηδυς, B. 270.
ϝηκα, Γ. 155.
Fηνοψ, Π. 401, 408.
ϝηριον, Ψ. 126.
ϝηχησσα, A. 157.
Fιανασσα, Σ. 47.
Fιανειρα, Σ. 47.
ϝιδμεν, A. 124.
ϝιδον, A. 148, 203, 262. Γ. 154.
ϝιεμαι, Σ. 501, B. 154.
ϝιδυια, A. 608, I. 128.
ϝικελος, B. 478.
ϝικμας, P. 392.
ϝικμενος, A. 479.
Fιλιῆον, Φ. 558.
Fιλιος, A. 71.
Fιλος, A. 166.
ϝινδαλλομαι, P. 213.
ϝινιον, E. 73.
ϝιοεις, E. 36.
ϝιοϝειδεα, A. 298.
ϝιομωροι, Δ. 242.
Fιρις, B. 786.
ϝις, E. 245.
ϝισαζω, M. 435.
Fισανδρος Z. 197.
ϝισασι, Z. 151.
ϝισασκετο, Ω. 607.
ϝισοϝμορος, O. 209.
ϝισοθεος, B. 565.
ϝισοπεδον, N. 142.
ϝισος, A. 163.
ϝισοφαριζω, I. 390.
ϝιστωρ, Σ. 501.
ϝιτεα, Φ. 350.
ϝιτυς, Δ. 486.
ϝιφι, A. 38, B. 518.
ϝιφια, E. 556.
Fιφιανασσα, I. 145.
Fιφιδαμας, A. 221.
Fιφικλος, B. 705.
Fιφινοος, H. 14.
Fιφιτοφι, B. 518.
ϝλαβων, A. 407, Γ. 34.
ϝλαπαρη, Γ. 359.
ϝληγω, A. 210.
ϝλιγαινω, Λ. 684.
ϝλιγυς, A. 248.
ϝλιπαροπλοκαμος, T. 126.
ϝλιπαρος, B. 44, K. 577.
ϝλις, E. 782.
ϝλισσομαι. A. 15.
ϝμαστιξ, E. 748.
ϝμεγαλητορα, Λ. 403.
ϝμεγαρον, A. 396.
ϝμεγας, A. 78, B. 196.
ϝμειδησεν, A. 595.
ϝμελιη, B. 543.
ϝμεροψ, B. 285.
ϝμοιρα, A. 286.
ϝμορσιμος, X. 13.
ϝνεφος, Δ. 274, A. 397.
ϝνιζω, Λ. 829.
ϝνιπτω, Π. 230.
ϝνιφας, Γ. 222.
ϝνοτιος, Θ. 307.
Fνοτος, B. 145.
ϝοι, A. 72, 79.
ϝοιδα, A. 85.
ϝοικος, A. 30.
Fοινεϊδης, K. 497.
Fοινευς, B 641.
ϝοινιζω, Θ. 506.
ϝοινοβαρες, A. 225.
Fοινομαος, M. 140.
ϝοινοπεδον, I. 575.
ϝοινος, A. 462.
ϝοινοχοος, B. 128.
ϝοινοψ, A. 350, E. 707.
ϝος, A. 72, 83, 609.
Fοσσα, B. 93.
ϝοσσομαι. I. 167.
ϝουλαμος, Δ. 251.
ϝουλος, B. 6.
ϝοψ, A. 604.
ϝρα, A. 56, 289, 554, B. 1, Π. 228.
ϝραβδος, M. 297.

ϝραδινος, Ψ. 583.
ϝραθαμιγγες, Λ. 536.
ϝραινω, Λ. 282, Μ. 431.
ϝραιστηρ, Σ. 477.
ϝραιω, Π. 339.
ϝραπτω, Μ. 296.
ϝραχιν, Ι. 208.
ϝρεδεσκεν. Ι. 536.
ϝρεεθρα, Β. 461.
ϝρεθος, Π. 856.
ϝρεζω, Α. 147, Γ. 351.
ϝρεια, Β. 475, Θ. 179.
Ϝρεια, Ξ. 203.
ϝρειατα, Φ. 197.
ϝρεπω, Θ. 72.
ϝρεω, Α. 249.
ϝρηγμιν, Α. 437.
ϝρηϊδιως, Δ. 390.
ϝρηκτος, Ν. 323.
ϝρηξηνωρ, Η. 228.
ϝρησσω, Β. 544, Ν. 323.
ϝρητηρ, Ι. 443.
ϝρητος, Φ. 445.
ϝριγεδανης, Τ. 325.
ϝριγεω, Γ. 353.
ϝριγιον, Α. 325.
ϝριζα, Ι. 538.
ϝριμφα, Θ. 54.
ϝρινος, Ε. 308.
ϝρινοτορος, Φ. 392.
ϝριπη, Θ. 355.
ϝριπτω, Α. 591.
ϝριον, Θ. 25.
ϝρις, Ε. 291.
ϝροδανος, Σ. 576.
ϝροδοδακτυλος, Α. 477.
ϝροαι, Β. 869.
ϝροιζησεν, Κ. 502.
ϝροιζος, Π. 361.
ϝροος, Μ. 33, Ξ. 201.
ϝροπαλον, Λ. 558.
ϝρυμος, Ε. 729.
ϝρυομαι, Ι. 396.
ϝρυσια, Λ. 673.
ϝρυσταζω, Ω. 755.
ϝρυτηρ, Π. 475.
ϝρωγαλεος, Β. 417.
ϝρωομαι, Λ. 50.
ϝρωπηϊα, Ν. 199.
ϝρωχμος, Ψ. 420.
ϝσειω, Γ. 345, Ξ. 285.
ϝσευω, Α. 173, Ε. 208.

ζαης, Μ. 157.
ζαφλεγεες, Φ. 465.
Ζεϊδωρος, Β. 548.
ζευγνυμεν, Π. 145.
Ζευς, Θ. 206, Τ. 95.
ζωγρει, Ε. 698.
ζωοντος, Α. 88.

Η, Α. 219.
ἠβαοιμι, Η. 157.
ηεξετο, Θ. 66.
ηεροφοιτις, Ε. 770.
ηεριος, Α. 497.
ηϊα, Ν. 103.
ηϊε, Α. 47, Κ. 197, 286.
ηκεστας, Ζ. 94.
ηλασκω, Β. 470.
Ηλεκτωρ, Ζ. 513.
ηλευαμην, Γ. 360.
ηλιθα, Λ. 676.
ημαθοεις, Β. 77.
ημιθεων, Μ. 23.
ημυω, Β. 148.
ηνις, Ζ. 94.
Ηοα, Θ. 561.
Ηοοθεν, Θ. 470.
ηπεδανος, Θ. 104.
ηπεροπευειν, Γ. 399.
ηραρε, Δ. 110, Μ. 105.
ηρατο, Ε. 61.
ηρετο, Γ. 373.
Ἥρη, Α. 55.
ηριγενεια, Α. 477.
ητιμησε, Α. 11.
ηϋκομος, Α. 36.
ἠχι, Α. 607.
Ηως, Α. 477.

θασσον, Β. 8.
Θεα, Α. 1.
θελω, Α. 277.
θεμειλια, Μ. 28.
θεναρ, Ε. 339.
θεοφειδης, Γ. 16.
Θεος, Α. 8, 18, 516, Γ. 224.
θεσπιδαες, Μ. 177.
θευσομαι, Λ. 700.
